eul_wid: qmm-ch

*Γαληνὸς ὁ Περγαμηνός* · Galen of Pergamon

# On Hippocrates' Epidemics I

*Περὶ Ἱπποκράτους Ἐπιδημιῶν Α'*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

17a 5 (13) μόνον προγνώσεται τὰς γινομένας νόσους ἐν ἑκάστῃ τῶν καταστάσεων, ⟨ἀλλὰ⟩ καὶ κωλύσει γίνεσθαι, ταῖς τοῦ περιέχοντος ἡμᾶς ἀμέτροις κράσεσι τὴν ἐναντίαν ἐπιτεχνώμενος δίαιταν. εὔδηλον γὰρ ὡς, εἴπερ εὐκρασία τῶν πρώτων ⟨σωμάτων⟩ ἐστὶν ἡ ὑγεία, διαφθαρήσεται μὲν ὑπὸ τῆς τοῦ περιέχοντος δυσκρασίας, φυλαχθήσεται δ’ ὑπὸ τῆς κατὰ τὴν δίαιταν ἐναντιώσεως.

17a 6 κακῶς οὖν ὁ Κόιντος ἐξηγεῖται καὶ ταῦτα τὰ βιβλία καὶ τὰ τῶν Ἀφορισμῶν, ⟨ἐν⟩ οἷς ὧδέ πως ἔγραψε· “περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρους πυρετοὺς ὀξεῖς καὶ ὀφθαλμίας καὶ δυσεντερίας γίνεσθαι.” τῇ πείρᾳ γὰρ μόνῃ τοῦτο ἐγνῶσθαί φησιν ὁ Κόιντος ἄνευ τοῦ κατὰ τὴν αἰτίαν λογισμοῦ, πρῶτον μὲν αὐτὸ τοῦθ’ ἁμαρτάνων, ** ὅτι τὰς αἰτίας, ὧν εἶπε κατὰ τοὺς Ἀφορισμοὺς τούτους ὁ Ἱπποκράτη c, αὐτὸς αὖθις ἐν τῷ Περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων ἔγραψεν, εἶθ’ ὅτι τὸ χρήσιμον μέρος τῆς διδασκαλίας ὑπερέβαινεν. ἀρεταὶ μὲν γάρ εἰσιν ἐξηγητῶν δύο αὗται, τό τε τὴν γνώμην φυλάσσειν τοῦ συγγράμματος καὶ τὸ τὰ χρήσιμα διδάσκειν τοὺς ἀναγνωσομένους αὐτοῦ τὰ ὑπομνήματα, διέφθειρε δὲ ἀμφοτέρας ὁ Κόιντος ἐν τῷ μὴ συνάπτειν τῇ καταστάσει τοῦ περιέχοντος ἡμᾶς ἀέρος τὰ πλεονάσαντα νοσήματα, συνάπτεσθαι μὲν αὐτὰ βουλομένου τοῦ Ἱπποκράτους αὐτοῦ, προγνῶναι δ’ ἐσόμενα καὶ κωλῦσαι συνιστάμενα καὶ ἰᾶσθαι γενόμενα μὴ δυνησομένων ἡμῶν ἄνευ τοῦ γνῶναι τὴν γενομένην ἐν τῷ σώματι διάθεσιν ἐκ τῆς δυσκρασίας τοῦ περιέχοντος.

17a 7 οὕτως γὰρ καὶ τῶν ἄλλων ἁπασῶν καταστάσεων τὰς δυνάμεις αὖθις ἐξευρίσκειν δυνησόμεθα. ὅστις οὖν βούλεται μεγάλως εἰς τὴν τέχνην ἐκ τῆς ἀναγνώσεως τῶν Ἐπιδημιῶν ὠφεληθῆναι, προαναγνῶναι τούτῳ βέλτιόν ἐστι τὸ Περὶ φύσεως ἀνθρώπου καὶ τὸ Περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων, ἔτι ⟨τε⟩ τῶν Ἀφορισμῶν ἐκείνους, ἐν οἷς περὶ τῶν ὡρῶν διέρχεται καὶ τὰς δυνάμεις διδάσκει τῶν ψυχρῶν καὶ θερμῶν καὶ ξηρῶν καὶ ὑγρῶν καταστάσεων. ⟨καὶ⟩ ἀναγκαῖον δ’ ἐστὶ πρὸς τοῖς εἰρημένοις αὐτοῦ τὸ Προγνωστικὸν ἀνεγνωκέναι. οἷς γὰρ ἐδίδαξεν ἐν οἷς εἴρηκα βιβλίοις ἀκολουθεῖ ⟨πάντα⟩ τὰ κατὰ ⟨τὰ⟩ τῶν Ἐπιδημιῶν γεγραμμένα, πρῶτον μὲν ὅτι τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ συμμετρία τίς ἐστι τῶν πρώτων σωμάτων ἡ ὑγεία, δεύτερον δὲ ὅτι τὸ μὲν ἔαρ εὐκρατότατόν ἐστιν, ὅταν γε τὴν οἰκείαν κρᾶσιν φυλάττῃ, καὶ διὰ τοῦτ’ ἐν αὐτῷ πλεονάζει τὸ αἷμα, καθάπερ γε καὶ τὸ ⟨μὲν⟩ θέρος θερμότερον καὶ ξηρότερον τοῦ προσήκοντος, ὁ ⟨δὲ⟩ χειμὼν ὑγρότερος καὶ ψυχρότερος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνώμαλον δὲ τῇ κράσει τὸ φθινόπωρον, ἐπικρατούμενον ὑπὸ τοῦ ξηροῦ τε καὶ ψυχροῦ, καὶ ὅτι πλεονάζει καθ’ ἑκάστην τῶν ὡρῶν εἷς τις χυμός, ὡς ὀλίγον ἔμπροσθεν εἶπον.

17a 8 ἐπὶ 〈δὲ〉 τούτοις τρίτον τε καὶ τέταρτον ἐν ἐκείνοις τοῖς βιβλίοις ἐδιδάχθη, κατὰ μὲν τὸ Περὶ φύσεως ἀνθρώπου τῶν ἐπιδημίων νοσημάτων αἴτιον εἶναι τὸ περιέχον, ἐν δὲ τῷ Προγνωστικῷ τῶν σημείων, δι’ ὧν αἱ προγνώσεις γίνονται, ἥτις ἑκάστου δύναμίς ἐστι κατά τε ποιότητα καὶ μέγεθος. ἀξιῶ δέ σε τὸν ἀναγνωσόμενον τὴν προκειμένην πραγματείαν ὧν διῆλθον ἁπάντων πρόχειρον ἔχειν τὴν μνήμην, ἵνα τοῖς ὑφ’ ἡμῶν λεχθησομένοις ἀκολουθῇς ἑτοιμότερον. ἁπάντων δὲ μάλιστα τὸ Περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων ἀνεγνωκέναι σε βούλομαι, ὅπως ἴδῃς ἐν *** οἷς Ἱπποκράτης αὐτὸς ἔγραψε *** καὶ πιστώσομαι τὰ γένη τῶν νοσημάτων, ὧν διῆλθον, Ἱπποκράτει διῃρημένα εἶναι οὕτως, αἴτιόν γε τὸν ἀέρα 〈τῶν〉 ἐπιδημίων νοσημάτων ἀποφαινομένῳ· κατὰ μὲν γὰρ τὸ Περὶ φύσεως ἀνθρώπου ταυτὶ γράφει· “αἱ δὲ νοῦσοι γίνονται αἱ μὲν ἀπὸ διαιτημάτων, αἱ δὲ ἀπὸ τοῦ πνεύματος, ὃ ἐσαγόμενοι ζῶμεν.

17a 9 τὴν δὲ διά γνωσιν ἑκατέρων ὧδε χρὴ ποιέεσθαι· ὁκόταν μὲν ὑπὸ ἑνὸς νοσήματος πολλοὶ ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίην χρὴ ἀνατιθέναι τούτῳ ὅ τι κοινότατόν ἐστι καὶ [ὅ τι] μάλιστα αὐτῷ πάντες χρεώμεθα· ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν. φανερὸν γὰρ δή, ὅτι οὐ τὰ διαιτήματα ἑκάστου ἡμέων ἐστὶν αἴτια τῆς νόσου, ὅτε ἅπτεται πάντων ἑξῆς καὶ τῶν νεωτέρων καὶ τῶν πρεσβυτέρων καὶ γυναικῶν καὶ ἀνδρῶν, ὁμοίως καὶ τῶν θωρησσομένων καὶ τῶν ὑδροποτεόντων καὶ τῶν μάζαν ἐσθιόντων καὶ τῶν ἄρτον σιτεόντων καὶ τῶν ὀλίγα ταλαιπωρεόντων καὶ τῶν πολλὰ καμνόντων. οὐκοῦν οὐ τὰ διαιτήματα αἴτια 〈ἂν〉 εἴη γε, ὁκόταν διαιτώμενοι πάντα τρόπον οἱ ἄνθρωποι ἁλίσκωνται ὑπὸ τῆς αὐτέης νούσου. ὁκόταν δὲ αἱ νοῦσοι γίνωνται παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρόνον, δῆλον ὅτι τὰ διαιτήματα αἴτιά ἐστιν 〈ἕκαστα〉 ἑκάστοισιν.” ἐν ταύτῃ 〈μὲν οὖν〉 τῇ ῥήσει πάντων τῶν ἐπιδημίων 〈νοσημάτων αἰτίαν〉 εἶναί φησι 〈τὴν τοῦ περιέχοντος κρᾶσιν, ἐν δὲ τῷ δευτέρῳ τῶνδε τῶν Ἐπιδημιῶν, ἔνθα φησίν, ὡς “οἱ ἐν Αἴνῳ ἐν λιμῷ ὀσπριοφαγέοντες σκελέων ἀκρατέες ἐγένοντο, ἀτὰρ οἱ ὀροβοφαγέοντες γονυαλγέες”〉, οὐ τὴν κατάστασιν, ἀλλὰ τὴν δίαιταν αἰτιᾶται. δύναται δὲ ἐνίοτε καὶ ὕδατος μοχθηροῦ πόσις ἐργάσασθαι πάγκοινον νόσημα καὶ ἱστορεῖται καὶ τοῦτο γεγονὸς ἐπὶ στρατοπέδου 〈παντός〉, ὥσπερ γε καὶ διὰ τὴν τοῦ χωρίου φύσιν, ἔνθα πάντες ὁμοῦ στρατοπεδευόμενοι διετέλεσαν, 〈ἐνίοτε μὲν ἐξ ἑλῶν τε καὶ τελμάτων κατ’ αὐτὸ τοῦτο τὸ χωρίον ἢ πλησίον,〉 ἐνίοτε δὲ ἐκ βαράθρων τῶν καλουμένων Χαρωνείων 〈ὀλεθρίων〉 πνευμάτων πλεοναζόντων.

17a 10 ταῦτα μὲν οὖν τῷ βλάπτειν τὸν ἀέρα καὶ τὰς νόσους ἐργάζεται καὶ εἴη ἂν ἐν τῷ προγεγραμμένῳ λόγῳ περιεχόμενα, τὰ δὲ ἀπὸ τῶν ἐδεσμάτων τε καὶ πομάτων σπάνιά τέ ἐστι καὶ γνωσθῆναι ῥᾶστα 〈τοῖς ἐν τῷ Περὶ φύσεως ἀνθρώπου γεγραμμένοις〉. [ἐν μὲν οὖν τῶι Περὶ φύσεως ἀνθρώπου βιβλίωι τὸ αἴτιον τοῦ κοινοῦ πολλοῖς νοσήμασιν ὠνόμασε “κοινότατον”.] ἐν δὲ τῷ Περὶ ἀέρων καὶ ὑδάτων καὶ τόπων *** [τὰ οὕτω γινόμενα νοσήματα “πάγκοινα” προσηγόρευσεν ὧδέ πως εἰπών· “τοῦ δὲ χρόνου προιόντος καὶ τοῦ ἐνιαυτοῦ λέγοι ἄν, ὁκόσα νοσήματα μέλλοι πάγκοινα τὴν πόλιν κατασχήσειν ἢ θέρους ἢ χειμῶνος.” καὶ πάλιν οὐ μετὰ πολλά· “ταῦτα μὲν τὰ νοσήματα ἐπιχώρια αὐτέοισίν ἐστιν, καί, ἤν τι πάγκοινον κατάσχοι νόσημα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ οὗτοι μετέχουσιν.

17a 11 ” καὶ πάλιν μετ’ ὀλίγα· “τοῖσι μὲν ἀνδράσι ταῦτα τὰ νοσή ματα ἐπιχώριά ἐστι, καὶ χωρίς, ἥν τι κοινὸν κατάσχῃ ἐκ μεταβολῆς.” καὶ κατωτέρω πάλιν· “τοῦτο μὲν τὸ νόσημα αὐτέοισι σύντροφόν ἐστι καὶ θέρεος καὶ χειμῶνος.” ἀλλὰ μηδὲ τοῦτό σε παρέλθῃ ἐν ταῖς προγεγραμμέναις ῥήσεσιν εἰρημένον ἐν ἄλλοις τέ τισι τῶν Ἱπποκράτους,] 〈καὶ τοίνυν τὰ μὲν ἔνδημα νοσήματά ἐστιν,〉 ὅσα πλεονάζει διὰ παντὸς ἔν τινι χώρᾳ, [ἅπερ δὴ καὶ ἔνδημα προσαγορεύεται,] τῶν κοινῶν πολλοῖς ὄντα καὶ αὐτά, καθάπερ καὶ ὁ λοιμός. ἔστι γὰρ καὶ οὗτος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ τῶν κοινῶν νοσημάτων, ὡς αὐτὸς αὖ καὶ περὶ τοῦδε σαφῶς ἐδήλωσεν ἐν τῷ Περὶ διαίτης ὀξέων, [ὧδέ πως εἰπών· “ὅταν γὰρ μὴ λοιμῶδες νόσου τρόπος τις κοινὸς ἐπιδημήσηι, ἀλλὰ σποράδες ὦσιν αἱ νοῦσοι καὶ μὴ παραπλήσιαι αὐτέοισιν, ὑπὸ τούτων τῶν νοσημάτων οἱ πλείους ἀπόλλυνται ἢ ὑπὸ τῶν ἄλλων τῶν συμπάντων.” δῆλον οὖν] ὡς ἐκ τοῦ γένους τῶν ἐπιδημίων νοσημάτων, ὅσα κακοηθέστατα γίνεται καὶ λοιμώδη καλεῖται· τὸ δὲ τῶν ἐπιδημίων ἐκ τοῦ τῶν πανδήμων τε καὶ παγκοίνων γένους ἐστίν, ὃ ταῖς σποράδεσι νόσοις ἀντιδιαιρεῖται· ταῦτα μὲν οὕτως αὐτὸς 〈διεῖλε καὶ〉 ὠνόμασεν, τοὺς λοιμοὺς δὲ πάντες ἄνθρωποι καλοῦσί τε καὶ γινώσκουσιν ὄντας ὀλέθρια νοσήματα καὶ πέμπουσί γε πολλάκις εἰς θεοὺς περὶ τῆς ἰάσεως αὐτῶν πυνθανόμενοι. [15]

17a 12 [οὐ μόνον δὲ ἐνταῦθα τὸ ἐπιδημήσειν γέγραφεν, ἀλλὰ καὶ κατὰ τὸ Προγνωστικόν, ἐν ᾧ φησι· “χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων τῶν ἀεὶ ἐπιδημεόντων ταχέως ἐνθυμέεσθαι καὶ μὴ λανθάνειν τῆς τε ὥρης τὴν κατάστασιν.” ἐν αὐτοῖς δὲ τοῖς τῶν Ἐπιδημιῶν ποτὲ μέν ἐστιν ἀκοῦσαι λέγοντος αὐτοῦ· “ἐπεδήμησαν δὲ καὶ δυσεντερίαι κατὰ θέρος πολλαί·” ποτὲ δὲ “καὶ ἄλλαι πυρετῶν ἐπεδήμησαν ἰδέαι”. “καὶ γὰρ ἄλλοις τὸ νόσημα ἐπιδήμιον ἦν.”] γέγραπται δὲ τοῦτο τοὔνομα τὸ ” ἐπίδημο ν” ἐν τισὶ μὲν τῶν ἀντιγράφων διὰ τεσσάρων συλλαβῶν, τῆς τελευταίας ἐκ τοῦ μ καὶ ο καὶ ν συνεστηκυίας, ἐν τισὶ δὲ διὰ πέντε, διά τε τοῦ μ καὶ ι κἄπειτα καθ’ ἑτέραν συλλαβὴν τὴν τελευταίαν τοῦ ο καὶ ν. μεμνῆσθαι 〈δὲ〉 χρὴ τούτων εἰς 〈τὸ〉 τὰ μέλλοντα λέγεσθαι γιγνώσκειν, ὡς ἔνια μὲν τῶν νοσημάτων κοινῇ πολλοὺς καταλαμβάνει, ἃ δὴ λέγεται κοινά, ἔνια δ’ ἕκαστον ἰδίᾳ, τὰ σποραδικὰ προσαγορευόμενα. τῶν δὲ κοινῶν τὰ μὲν ἔνδημά [τε] ἐστι, τὰ δὲ ἐπίδημά τε καὶ ἐπιδήμια, διὰ τεττάρων ἢ πέντε συλλαβῶν, ὡς εἴρηται, γραφόμενα καὶ λεγόμενα. [15]

17a 13 τούτων δὲ τὰ χαλεπώτατα λοιμώδη καλεῖται, τὴν αἰτίαν ἐκ τῆς περὶ τὸν ἀέρα καταστάσεως ἔχοντα καὶ αὐτά, καθάπερ ὅλον τὸ γένος τῶν ἐπιδημίων νοσημάτων. γέγραφε δὲ 〈κατὰ τοῦτο τὸ βιβλίον〉 καὶ λοιμώδεις τινὰς καταστάσεις, ὥσπερ καὶ τὴν ἐν τῷ τρίτῳ[, διότι καὶ τῷ γένει ὁ λοιμὸς ἐπιδήμιόν ἐστι νόσημα]. ταῦτα μὲν οὖν ἄμεινόν ἐστι διωρίσθαι 〈πρὸ〉 τῆς μελλούσης ἔσεσθαι τῶν κατὰ μέρος ἐξηγήσεως. μετὰ ταῦτα δὲ εἰς ἐκείνην ἤδη τρέψομαι, τοσοῦτον ἔτι προειπών, ὅπερ καὶ ἐν 〈ἄλλοις〉 πολλοῖς τῶν ὑπ’ ἐμοῦ γεγραμμένων βιβλίων εἰρῆσθαι φθάνει, προτρέποντός μου γυμνάζεσθαι τοὺς ἐκμαθεῖν θέλοντας τὴν ἰατρικὴν τέχνην ἐν τοῖς κατὰ μέρος αἰσθητοῖς, ὡς διαγινώσκειν αὐτούς, ἃ καθόλου προμεμαθήκασιν. ταῦτα δὲ αὐτὰ τὰ κατὰ μέρος ἀρχὴν τῆς 〈τῶν〉 καθόλου συστάσεως οἱ ἐμπειρικοί φασιν εἶναι, λέγοντες ἀληθῆ ἐκεῖνα τῶν θεωρημάτων ὅσα τὴν σύστασιν ἐξ ἐμπειρίας ἔσχηκεν. ἡμῖν δὲ οὐχ οὕτως, ἀλλὰ καὶ διὰ λόγου δοκεῖ πολλὰ τῶν θεωρημάτων εὑρῆσθαι, κρίνεσθαι μέντοι καὶ τούτων τὴν ἀλήθειαν ὑπὸ τῆς πείρας βεβαιουμένην τε καὶ μαρτυρουμένην. [15]

17a 14 οὕτως γοῦν καί〈τοι〉 τοῖς περὶ μεγεθῶν 〈καὶ〉 ἀποστημάτων ἡλίου καὶ σελήνης καὶ γῆς ἀποδεδειγμένοις ἤδη πιστεύοντες, ὅταν πρὸς αἰσθητῶν τε πολλῶν ἄλλων, ὅσα κατὰ γεωμετρικοὺς λόγους εὑρίσκεται, [ὅταν ὑπὸ] 〈καὶ〉 τῶν καταλελογισμένων ἐκλείψεων μαρτυρῆται, βεβαιοτέραν ἴσχομεν τὴν πίστιν. ὅπου τοίνυν τὰ διὰ γεωμετρίας ἀποδειχθέντα πιστότερα γίνεται μαρτυρούμενα πρὸς τῶν κατὰ μέρος ἀποβαινόντων καὶ πιστότερα γενόμενα 〈μείζονα〉 βεβαιότητ’ ἔχει, πολλῷ 〈δὴ〉 μᾶλλον [ἢ] ὅσα *** ὑπὸ τὴν κατὰ μέρος *** πίστιν. ταῦτ’ οὖν 〈οὕτως〉 ἡμεῖς ἐπιδειξόμεθα ἐν τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις γινόμενα. Ἐν Θάσῳ φθινοπώρου περὶ ἰσημερίην καὶ ὑπὸ πληιάδα ὕδατα πολλ ά , συνεχέ α , μαλθακῶ c , ἐν νοτίοις ι . [12]

17a 15 Ὅτι μὲν καὶ ἡ τοῦ χωρίου γνῶσις εἰς τὴν τῶν ἐπιδημίων νοσημάτων διδασκαλίαν ὠφέλιμός ἐστιν ὕστερον λέξω. νυνὶ δὲ τὴν λέξιν αὐτὴν πρότερον ἐξηγήσομαι, τοῦ συγγραφέως εἰπόντος περὶ ἰσημερίην καὶ ὑπὸ πληιάδ α. δυοῖν γὰρ οὐσῶν ἰσημεριῶν καὶ δυοῖν πλειάδων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπισημασιῶν, αὐτὸς ἐδήλωσεν, ὁποίαν αὐτῶν λέγει, προσθεὶς τῷ λόγῳ τὸ φθινοπώρο υ. κατὰ μὲν γὰρ τὸ ἔαρ ἡ ἑτέρα γίνεται καὶ ἡ ἀρχή 〈γ'〉 αὐτοῦ κατὰ τὴν ἡμετέραν οἴκησίν ἐστιν αὕτη, 〈ἣν νῦν οὐ λέγομεν〉· καθάπερ καὶ τελευτὴ πάλιν ἦρος τῶν πλειάδων 〈ἡ〉 ἐπιτολή. κατὰ δὲ τὸ φθινόπωρον ἡ ὑπόλοιπος ἰσημερία γίνεται καὶ ἡ τῶν πλειάδων δύσις. οὐδὲν δὲ διοίσει λέγειν ἤτοι κατὰ τὸν πληθυντικὸν ὀνομαζόμενον ἀριθμὸν τὰς πλειάδας ἢ κατὰ τὸν ἑνικὸν τὴν πλειάδ α. γίνεται δὲ ἡ τῆς πλειάδος δύσις 〈κατὰ τὴν ἡμετέραν οἴκησιν〉 ὡς με τὰ πεντήκοντα ἡμέρας τῆς φθινοπωρινῆς ἰσημερία ς, εἰδότων ἡμῶν τὰς μὲν ἰσημερίας καὶ τροπὰς ἑνὶ καιρῷ γινομένας ἐν ἁπάσαις ταῖς οἰκήσεσιν, τὰς δὲ ἐπιτολὰς καὶ δύσεις τῶν ἀστέρων ὑπαλλασσομένας, ὡς καθ' ἑκάστην οἴκησιν ἰδίαν εἶναι.

17a 16 μόνοις γὰρ τοῖς ὑπὸ τὸν αὐτὸν οἰκοῦσι πόλον κοιναὶ τῶν ἄστρων αἵ τ' ἐπιτολαὶ καὶ δύσεις γίνονται. καλοῦσι μὲν οἱ Ἕλληνες ὡς τὰ πολλὰ τὸ συγκείμενον ἐκ πολλῶν ἀστέρων ἄστρον, οἷον τὸν ταῦρον ὅλον ἤ τι μέρος αὐτοῦ, τὰς ὑάδας ἢ τὰς πλειάδα ς. ὅμως μὴν ἔστιν ὅτε καὶ τῶν ἀστέρων ἕκαστον ὀνομάζουσιν ἄστρον, οὐ μὴν τόν γε συγκείμενον ἐκ πολλῶν ἀστέρα καλοῦσιν, ἀλλ' ἄστρον ἀεὶ μόνως οὕτως, ἕνα δὲ ἕκαστον οὐκέτι ἀστέρα μόνον, ὡς εἶπον, ἀλλὰ καὶ ἄστρον, οἷον τὸν ἀρκτοῦρον, τὸν σείριον, τὸν ἑωσφόρον, τὸν ἑσπέριον. ἀναγκαιότατον δ' ἐστὶν εἰς ὅλην τὴν ἐνεστῶσαν πραγματείαν ἐπίστασθαι τὴν κατὰ τὰς χώρας, ἐν αἷς ἂν ἰατρεύειν μέλλωμεν, ἑκάστου τῶν ἄστρων ἐπιτολήν τε καὶ δύσιν, ἐπειδὴ περιγράφουσιν αὗται τὰς ὥρας, αὐτίκα γέ τοι κατὰ τὸν δι' Ἑλλησπόντου παράλλη λον ἀρχὴ μὲν τοῦ ἦρός ἐστιν ἡ κατ' ἐκεῖνον τὸν καιρὸν ἰσημερία, τελευτὴ δὲ τῶν πλειάδων ἡ ἐπιτολή.

17a 17 αὕτη δὲ καὶ θέρους ἐστὶν ἀρχή, καθάπερ γε καὶ τελευτὴ μὲν τοῦ θέρους, ἀρχὴ δὲ τοῦ φθινοπώρου ἡ ἐπιτολὴ τοῦ ἀρκτούρου, προλαμβάνουσα τὴν φθινοπωρινὴν ἰσημερίαν ἡμέραις ὡς δώδεκα. καὶ μέν γε καὶ ἡ δύσις τῆς πλειάδος ἀρχὴ μὲν τοῦ χειμῶνός ἐστι, τελευτὴ δὲ τοῦ φθινοπώρο υ. θαυμάζειν δ', οἶμαι, δεῖ καὶ ζητεῖν τὴν αἰτίαν τοῦ παραλελεῖφθαι κατὰ τὸν λόγον ἐπιτολὴν ἀστέρος τοῦ ἐπισημοτάτου γινομένην ἐν θέρει τοῦ καλουμένου σειρίου. ὀνομάζουσι δὲ αὐτὸν ἔνιοι καὶ κύνα, καταχρώμενοι τῇ τοῦ παντὸς ἄστρου προσηγορίᾳ· κύων μὲν γὰρ τὸ σύμπαν ἄστρον, ὁ δ' ἐπὶ τῆς γένυος αὐτοῦ σείριος, ὃν ὀρθῶς ἄν τις ὀνομάζοι τὸν πρόκυνα, οὐ τὸν κύνα. καὶ ἀρχή γε τῆς καλουμένης ὀπώρας ἡ ἐπιτολὴ τούτου τοῦ ἀστέρος ἐστίν. καὶ ὅσοι τὸν ἐνιαυτὸν εἰς ἑπτὰ τέμνουσιν ὥρας, ἄχρι μὲν ἐπιτολῆς τοῦ κυνὸς ἐκτείνουσι τὸ θέρος, ἐντεῦθεν δὲ μέχρις ἀρκτούρου τὴν ὀπώραν. οἱ δ' αὐτοὶ καὶ τὸν χειμῶνα τριχῇ τέμνουσι, μέσον μὲν αὐτοῦ ποιοῦντες τὸν περὶ τὰς τροπὰς χρόνον, τοὺς δ' ἑκατέρωθεν τοῦδε σπορητὸν μὲν τὸν πρόσθεν, φυταλιὰν δὲ τὸν ἕτερον, αὐτοὶ γὰρ οὕτως ὀνομάζουσι.

17a 18 καὶ μέντοι κἀν τῷ Περὶ ἑβδομάδων Ἱπποκράτους ἐπιγραφομένῳ βιβλίῳ διῃρημένον ἔστιν εὑρεῖν τὸν ἐνιαυτὸν εἰς ἑπτά, τοῦ μὲν φθινοπώρου καὶ τοῦ ἦρος ἀτμήτων πεφυλαγμένων, τετμημένων δὲ τοῦ μὲν χειμῶνος εἰς τρία μέρη, τοῦ δὲ θέρους εἰς δύο. χρησίμη μὲν οὖν ἐστι καὶ ἡ τοιαύτη διαίρεσις, ὡς προιὼν ὁ λόγος δείξει, χρησίμη δὲ καὶ 〈ἡ〉 εἰς τέσσαρας ὥρας, ὡς καὶ τοῦτο δέδεικται πρότερον 〈ὑπ'〉 αὐτοῦ τοῦ Ἱπποκράτους ἐν οἷς τάς τε τῶν χυμῶν ἐπικρατείας διδάσκει καὶ τὰς τῶν νοσημάτων ἰδέας καὶ τὰς ἀμφοτέρων τούτων ἡγουμένας κράσεις τοῦ περιέχοντος, τέτταρας ἐχούσας διαφοράς. ἐὰν γὰρ καὶ ὅτι μάλιστα δίχα τις τέμνῃ τὸν μεταξὺ πλειάδων ἐπιτολῆς καὶ ἀρκτούρου χρόνον, ἀλλά τι κοινόν ἐστιν αὐτῷ παντὶ τὸ ξηροτέρῳ 〈τε καὶ θερμοτέρῳ〉 τοῦ συμμέτρου εἶναι, καθάπερ γε καὶ τῷ χειμῶνι τὸ ψυχροτέρῳ τε καὶ ὑγροτέρῳ, κἂν τριχῇ τέμνηται. αἱ μὲν οὖν μεγάλαι διαφοραὶ τῆς κράσεως, ἃς καὶ γενικὰς ἄν τις εἴποι προσηκόντως, εἰς τέτταρας διαι ροῦσιν ὥρας τὸν ἐνιαυτόν, [ἤτοι γ' ἑτερογενεῖς ἢ ἑτεροειδεῖς ἀλλήλων, ὡς ἂν ἐθέλῃ τις ὀνομάζειν,] αἱ δὲ καθ' ἑκάστην τῶν διαφορῶν τούτων εἰς τὸ μᾶλλόν τε καὶ ἧττον τομαὶ τὸ θέρος μὲν εἰς δύο, τὸν χειμῶνα δ' εἰς τρεῖς μοίρας τέμνουσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17a 19 ⟨αἰτία⟩ δὲ ⟨τῆς⟩ τῶν ὡρῶν τούτων τομῆ ⟨ϲ ἐστι τὸ μῆ⟩ κος τοῦ κατ’ αὐτὰς χρόνου· τεσσάρων γὰρ μηνῶν ὁ μεταξὺ πλειάδος τε καὶ ἀρκτούρου χρόνος ἐστί, πλειόνων δ’ ἢ καὶ τεσσάρων ὁ μεταξὺ πλειάδος τε δύσεως καὶ τῆς ἐαρινῆς ἰσημερίας, ὁ δὲ τοῦ ἦρος οὐδ’ ὅλων δύο μηνῶν. ὥστ’ ἄτμητος εἰκότως ἐφυλάχθη, διὰ ταὐτὰ δὲ καὶ ⟨ὁ⟩ τοῦ φθινοπώρου, μείζων μὲν ὢν ἤπερ τὸ ἔαρ (ἐκτείνεται γὰρ εἰς δύο μῆνας), ἀπολειπόμενος δὲ τῷ μεγέθει πάμπολυ τοῦ κατὰ τὸ θέρος τε καὶ τὸν χειμῶνα χρόνου. ταῦτ’ οὖν εἰς ἅπαξ μὲν εἰρήσθω μοι νῦν, εἰς δὲ τὸν ἑξῆς ἅπαντα λόγον μνημονευέσθω πρὸς τὸ μετάγεσθαι ⟨τὰς ὥρας⟩ ῥᾳδίως εἰς τοὺς ἐν ἑκάστῳ τῶν ἐθνῶν μῆνας, ἄλλους παρ’ ἄλλοις ὄντας· ὡς εἰ πάντες εἶχον τοὺς αὐτούς, οὐκ ἂν ἀρκτούρου καὶ πλειάδος καὶ κυνὸς ἰσημεριῶν τε καὶ τροπῶν ἐμνημόνευσεν ὁ Ἱπποκράτη ϲ, ἀλλ’ ἤρκεσεν ἂν εἰπεῖν αὐτῷ, κατὰ Μακεδόνας εἰ οὕτως ἔτυχεν ὀνομάζοντι, τοῦ Δίου μηνὸς ἀρχομένου τοιάνδε τινὰ γενέσθαι κατάστασιν ἐν τῇ τοῦ περιέχοντος κράσει. [15]

17a 20 νυνὶ δ’ ἐπειδὴ τὸ ⟨τοῦ⟩ Δίου Μακεδόσι μὲν μόνοις σαφές, Ἀθηναίοις δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις οὐ σαφές, Ἱπποκράτης δ’ ἐβούλετο τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν ὠφελεῖν, ἄμεινον ἦν αὐτῷ γράψαι μόνην τὴν ἰσημερίαν ἄνευ τοῦ μνημονεῦσαί τινος μηνός. ἡ μὲν γὰρ ἰσημερία κοσμικόν ἐστι πρᾶγμα, οἱ δὲ μῆνες ἐπιχώριοι καθ’ ἕκαστον ἔθνος. ὅστις γοῦν ἀστρονομίας ἀπείρως ἔχει, μάλιστα μὲν ἴστω μὴ πειθόμενος Ἱπποκράτει προτρέποντι πρὸς αὐτὴν ἕνεκα τῆς τῶν εἰρημένων χρήσεως. ἐπεὶ δὲ φιλάνθρωπον εἶναι δοκεῖ καὶ τοὺς τοιούτους ὠφελεῖν, ἐγὼ πειράσομαι τὴν ἐνδεχομένην ὑπογράψαι βοήθειαν, ᾗ προσέχοντες τὸν νοῦν ἁπάντων ὧν Ἱπποκράτης λέγει ⟨κατὰ ταύτην τὴν ῥῆσιν⟩ καρπώσονται τὴν χρῆσιν. τεμνομένου δὴ τοῦ παντὸς ἔτους εἰς τέσσαρα μέρη κατ’ ἰσημερίας τε καὶ τροπὰς ἅπας τις ἐρωτήσας ἀστρονομικὸν ἄνδρα, τὰ τέσσαρα μέρη ταῦτα ἐν τίσι γίνονται μησίν ⟨καὶ πόστη καθ’ ἕκαστον αὐτῶν,⟩ εἶτα εἰδὼς αὐτὰ δυνήσεται καὶ περὶ τῶν ἄλλων ἐπισημασιῶν τῶν καθ’ ἕκαστον ἄστρων ἀκούων ἕπεσθαι. [15]

17a 21 οἷον εἰ οὕτως ἔτυχεν, ἐὰν προμάθῃ τις κατὰ τὴν ἀρχὴν τοῦ Δίου μηνὸς τοῦ φθινοπώρου γίνεσθαι ⟨τὴν⟩ ἰσημερίαν, εἴσεται τὴν μὲν χειμερινὴν τροπὴν ὡς μετὰ τρεῖς μῆνας ἐσομένην ἐν ἀρχῇ τοῦ κατὰ ⟨τὸ τοῦ⟩ ἐνιαυτοῦ πέρας ⟨Περιτίου⟩ μηνός· (τοῦτο γὰρ σημαίνει κατὰ Μακεδόνα ϲ·) τὴν δὲ ἐαρινὴν ἰσημερίαν ⟨τοῦ⟩ Ἀρτεμισίου, καθάπερ γε καὶ τὴν θερινὴν ⟨τροπὴν⟩ τοῦ Λώου. κατὰ γὰρ τὰς ἀρχὰς τῶν εἰρημένων μηνῶν αἵ τ’ ἰσημερίαι καὶ αἱ τροπαὶ γίνονται κατὰ Μακεδόνα ϲ, ⟨οὕτως αὐτῶν⟩ ἀριθμούντων τε καὶ ὀνομαζόντων τοὺς μῆνας. ὁ τοίνυν ταῦτα μαθὼν ἐὰν προσεπιμάθῃ τὸν μὲν ἀρκτοῦρον ἐπιτέλλοντα πρὸ ἡμερῶν ὡς δώδεκα τῆς φθινοπωρινῆς ἰσημερίας, πλειάδας δὲ δυομένας ὡς μετὰ πεντήκοντα, γνώσεται, πόστῃ τίνος καθ’ ἕκαστον τόπον μηνὸς ἑκάτερον τῶν ἄστρων ἐπιτέλλει, παραφυλάξει τε βουλόμενος ἀκολουθεῖν Ἱπποκράτει τὴν μεταβολὴν τῆς περὶ τὸν ἀέρα κράσεως ὁποία τις ⟨καθ’ ἑκάστην ὥραν⟩ γίνεται. χρὴ δὲ δηλονότι τοὺς μῆνας οὐ πρὸς σελήνην ἀριθμεῖσθαι, καθάπερ ἐν ταῖς πλείσταις νῦν τῶν Ἑλληνίδων πόλεων καὶ ἐν ἁπάσαις δὲ τὸ ἀρχαῖον, ἀλλὰ πρὸς ἥλιον, ὡς καὶ ἐν πολλοῖς τῶν ἐθνῶν ἀριθμεῖται καὶ ⟨δὴ καὶ⟩ παρὰ Ῥωμαίων ὁ σύμπας ἐνιαυτὸς εἰς δώδεκα ⟨μῆνας⟩ διαιρούμενος, ἑνὸς μὲν αὐτῶν ὀκτὼ καὶ εἴκοσιν ἡμερῶν ὄντος, ὃν δεύτερον ⟨κατα⟩ λέγουσι μετὰ τὰς τροπὰς χειμερινάς, αὐτοῦ δὲ τοῦ πρώτου μετὰ τὰς τροπὰς, ὃν καὶ πρῶτον ὅλου τοῦ ἔτους ἀριθμοῦσιν, μίαν ἐπὶ ταῖς τριάκοντα προσειληφότος, ὥσπερ γε καὶ τοῦ τρίτου μετὰ τὰς τροπάς. [5]

17a 22 καὶ γὰρ καὶ οὗτος αὐτός ἐστι μιᾶς καὶ τριάκοντα ἡμερῶν, ὁ δὲ τέταρτος τριακονθήμερος, ὁ δὲ πέμπτος μίαν ἐπὶ ταῖς τριάκοντα προσείληφεν, ὁ δὲ ἕκτος τριάκοντα, ⟨οἱ δὲ⟩ μετὰ τὸν ἕκτον δύο ⟨μῆνες⟩ μιᾶς καὶ τριάκοντα, ὁ δὲ μετὰ τούτους τριάκονθ’ ἡμερῶν, ὁ δ’ ἐφεξῆς τῷδε μιᾶς καὶ τριάκοντα, δέκατος ὢν τὸν ἀριθμὸν ὅλου τοῦ ἔτους, καὶ ὁ μὲν ἑνδέκατος τριάκονθ’ ἡμερῶν, ὁ δὲ δωδέκατος μιᾶς ἐπὶ ταῖς τριάκοντα. συναριθμοῦντι δέ σοι τὰς καθ’ ἕκαστον τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μηνῶν γενομένας ἡμέρας αἱ πᾶσαι γίνονται πέντε καὶ ἑξήκοντα καὶ τριακόσιαι. καὶ τεσσάρων [δ’] οὕτως ἀριθμηθέντων [τῶν] ἐτῶν ἐν τῷ τετάρτῳ τὸν τρίτον ἀπὸ τῆς 〈τροπῆς χειμερινῆς μῆνα〉 ποιοῦσι 〈α′〉 δεουσῶν τριάκοντα ἡμερῶν, ἵν’ ἕκαστος τῶν ἐνιαυτῶν γένηται τριακοσίων καὶ ἑξήκοντα 〈καὶ〉 πέντε ἡμερῶν καὶ προσέτι τετάρτης μοίρας ἡμέρας μιᾶς.

17a 23 τοῖς δὲ κατὰ Παλαιστίνην ἀριθμοῦσιν οἱ δώδεκα μῆνες ἀριθμὸν ἡμερῶν γίνονται τριακοσίων πεντήκοντα τεσσάρων. ἐπειδὴ γὰρ ὁ ἀπὸ συνόδου τῆς πρὸς ἥλιον σελήνης χρόνος ἄχρι πάσης ἄλλης συνόδου πρὸς τὰς ἐννέα καὶ εἴκοσιν ἡμέρας ἔτι καὶ ἄλλης μέρος ἥμισυ προσλαμβάνει, διὰ τοῦτο τοὺς δύο μῆνας ἡμερῶν γινομένους ἐννέα καὶ πεντήκοντα τέμνουσιν εἰς ἄνισα μέρη, τὸν μὲν ἕτερον αὐτῶν τριάκοντα ἡμερῶν ἐργαζόμενοι, τὸν δ’ ἕτερον ἐννέα καὶ εἴκοσιν. ἀναγκάζονται τοιγαροῦν οἱ οὕτως ἄγοντες τοὺς μῆνας ἐμβόλιμόν τινα ποιεῖν, ὅταν πρῶτον ἀθροισθῇ τὸ τῶν ἔμπροσθεν ἐνιαυτῶν ἔλλειμμα καὶ γένηται χρόνος ἑνὸς μηνός. καὶ γέγραπταί γε τῶν ἀστρονόμων καὶ ἄλλοις τισὶ καὶ Ἱππάρχ ῳ, ὁπηνίκα χρὴ τοὺς ἐμβολίμους μῆνας ἐμβάλλεσθαι. διόπερ, ὡς ἔφην, ἐπὶ μὲν τῶν οὕτως ἀριθμούντων τοὺς μῆνας οὐκ ἔστιν ὁρίσαι τὰς ἡμέρας, ἐν αἷς αἱ ἰσημερίαι τε καὶ τροπαὶ καὶ τῶν ἐπιφανῶν ἄστρων αἱ ἐπιτολαὶ γίνονται. κατὰ δὲ τοὺς πρὸς ἥλιον ἄγοντας ὁρίσαι δυνατόν, ὥσπερ ἔφην ἐπί τε Ῥωμαίων καὶ Μακεδόνων Ἀσιανῶν τε τῶν ἡμετέρων καὶ πολλῶν ἄλλων ἐθνῶν.

17a 24 ὁπότ’ οὖν εἴρηταί μοι ταῦτα κοινὰ τῶν ἐφεξῆς λόγων ἁπάντων ὄντα, πάλιν ἐπὶ τὴν προκειμένην ἀνήξω ῥῆσιν, ἐν ᾗ τῆς γενομένης ἐν Θάσῳ καταστάσεως ἀρχόμενος ἔφη φθινοπώρου 〈περὶ〉 ἰσημερίην καὶ ὑπὸ πληιάδα πολὺν ὑετὸν γενέσθαι. ὄντος γὰρ τοῦ φθινοπώρου περὶ ἰσημερίην καὶ δυοῖν μηνῶν, οὐκ εὐθέως ἀπ’ ἀρχῆς συνεισέβαλεν ἡ εἰρημένη κατάστασις, ἀλλὰ περὶ τὴν ἰσημερίαν ἤρξατο καὶ παρέτεινεν ἄχρι πλειάδος δύσεως ἡμέραις ὡς πεντήκοντα. Ἐν Θάσῳ φθινοπώρο υ. κατὰ μὲν οὖν τὸν Κόϊντον οὔθ’ ἡ χώρα συνενδείκνυταί τι πρὸς τὴν τῶν 〈ἐπιδημίων〉 νοσημάτων πρόγνωσιν οὔθ’ ὅλως δυνατόν ἐστι τὰ γενησόμενα προγνῶναι, μόνον δὲ 〈διαγνῶναι〉 τὸ γεγενῆσθαί τινα νοσήματα, διεφθαρμένης τῆς κατὰ φύσιν ἐν ταῖς ὥραις κράσεως· ἐνίοτε δὲ καὶ τὴν ἰδέαν αὐτῶν οὐκ ἐκ μεθόδου λογικῆς, ἀλλ’ ἐκ πείρας μόνης φησὶν ἐγνῶσθαι. καὶ τάς γε τῶν δυσκρασιῶν ἐπιπλοκάς, ἃς συνδρομὰς ὀνομάζουσιν οἱ ἐμπειρικοὶ τῶν ἰατρῶν, ἐξηγούμενοι τοὺς Ἀφορισμοὺς ἐκ πείρας ἔλεγον εὑρῆσθαι τῶνδέ τινων νοσημάτων αἰτίας γινομένας, οἷον· “ὅταν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, κατὰ τὸ θέρος ἔσονται πυρετοὶ ὀξεῖς καὶ ὀφθαλμίαι καὶ δυσεντερίαι.

17a 25 ” καὶ πάλιν· “ἢν μὲν ὁ χειμὼν ἔπομβρος καὶ νότιος γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ χειμέριον, αἱ μὲν γυναῖκες, ᾗσιν οἱ τόκοι πρὸς τὸ ἔαρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσι·” καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς κατέλεξε, τέσσαρας μόνας διαφορὰς καταστάσεων γράψας, καίτοι παμπόλλων οὐσῶν, ὅπερ ἐχρῆν ἐνθυμηθέντα τὸν Κόϊντον ἐπισκέψασθαί τε καὶ ζητῆσαι πρῶτον μὲν αὐτὸ δὴ τοῦτο 〈περὶ τὸ〉 τῶν παρὰ φύσιν ἐκτρεπομένων τῶν ὡρῶν, 〈εἰ πλείους εἰσὶ τεττάρων,〉 εἶθ’ εὑρόντα πλείους ζητῆσαι τὸν ἀριθμὸν ἁπασῶν, εἶτα σκέψασθαι, διὰ τί τῶν τεττάρων ἐμνημόνευσε μόνων ὁ Ἱπποκράτη ς, ἐφ’ οἷς ἅπασιν εὑρεθεῖσι ζητῆσαί τινα μέθοδον, ᾗ χρώμενοι τὰς τῶν ἄλλων ἁπασῶν καταστάσεων γνωσόμεθα δυνάμεις· (μόνως γὰρ ἂν οὕτως ἱκανοὶ προγινώσκειν γινοίμεθα καὶ τὰς μελλούσας ἐπιδημήσειν νό σους) ἀλλὰ καὶ προφυλάσσεσθαι, καθ’ ὅσον οἷόν τε, πρὸς τὸ μηδ’ ὅλως αὐταῖς περιπεσεῖν διὰ τῆς εἰρημένης ὁδοῦ προελθόντες ἱκανῶς εἰσόμεθα, ἢ εἰ τοῦτ’ ἀδύνατον εἴη ποτὲ διὰ τὸ μέγεθος τῆς αἰτίας, ὡς μετριωτάταις γοῦν ταύταις ἁλῶναι.

17a 26 ὅτι δὲ τὴν θεραπείαν τῶν νοσημάτων ὁ γυμνασθεὶς τὸν λογισμὸν οἷς εἶπον ἅπασιν ἄμεινον εὑρήσει τῶν μηδὲν προεσκεμμένων, οὐδὲ τοὺς ἐπιτυχόντας ἀγνοεῖν ἡγοῦμαι, μήτοι γε μὴν τοὺς νομίμως πεπαιδευμένους. ὅτι μὲν οὖν αὐτὸς ὁ Ἱπποκράτης οἶδε πλείους τῶν ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀφορισμοῖς γεγραμμένων τεσσάρων καταστάσεων, ἐξ αὐτῶν τῶνδε τῶν βιβλίων, ἃ νῦν ἡμῖν ἐξηγεῖσθαι πρόκειται, γένοιτ’ ἂν ἱκανῶς σαφές. ἐν μὲν γὰρ τῷ πρώτῳ τῶνδε τὴν πρώτην ἔγραψε κατάστασιν, ὑπὲρ ἧς αὐτὸς εἶπεν ἐπὶ τῇ τελευτῇ· “γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετ’ αὐχμῶν.” δευτέραν δέ, ἐν ᾗ πάλιν ἔφη· “γενομένου δὲ τοῦ ἔτεος ὅλου ψυχροῦ καὶ ὑγροῦ καὶ βορείου.” τρίτην δὲ ἀνώμαλόν τε καὶ ποικίλην, ἀρξαμένην μὲν ὀλίγον πρὸ τοῦ ἀρκτούρου ψυχρὰν καὶ ὑγράν, ἐφεξῆς δὲ γενομένην ἀπὸ τῆς φθινοπωρινῆς ἰσημερίας ἄχρι πλειά δων δύσεως ⟨παντ⟩ ἅπασι νότιον ἅμα μετρίαις ὑγρότησιν· εἶτ’ ἐφεξῆς ψυχρὰν καὶ ξηρὰν ἅμα πνεύμασι βορείοις μεγίστοις ὅλῳ σχεδόν τι τῷ χειμῶνι· κἄπειτα ψυχρὰν καὶ ξηρὰν ἄχρι κυνὸς ἐπιτολῆς, ἐντεῦθεν ἀθρόως καύματα μεγάλα μέχρις ἀρκτούρου, καθ’ ὃν ὕδατα νότια μέχρι τῆς ἰσημερίας.

17a 27 ταύτης οὖν τῆς καταστάσεως ἀνωμάλου γενομένης ὅμως ἐπεκράτει τὸ ψυχρὸν καὶ ξηρόν. ἐν δὲ τῷ τρίτῳ τῶν βιβλίων τούτων ἔγραψεν ⟨ἄλλην⟩ κατάστασιν, ἣν εἰς ἓν πάλιν ἀναγαγὼν κεφάλαιον ἔφησεν· “ἔτος νότιον ἔπομβρον, ἄπνοια διὰ τέλεος.” ἄλλην δὲ ⟨πάλιν⟩ ἐν τῷ δευτέρῳ κατάστασιν ἐν ἀρχῇ γράφων εἶπεν· “ἄνθρακες ἐν Κρανῶνι θερινοί, ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ διόλου, ἐγένοντο μᾶλλον νότῳ.” ⟨ἐξ⟩ ὧνπερ ⟨γιγνώσκομεν, ὅτι⟩ καὶ αὕτη θερμοτάτη ἐστὶ καὶ ἀμέτρως ὑγρά, [ὡς] κατὰ μίαν ὥραν γενομένη, τὸ θέρος, ὥσπερ καὶ ἡ κατὰ τὸ τρίτον βιβλίον ἐν ὅλῳ τῷ ἔτει. γεγραμμέναι δ’ εἰσὶ καὶ ἄλλαι καταστάσεις ἐν τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις, ἃς οὐκ εἶπεν ⟨ἐν τοῖς⟩ Ἀφορισμοῖς. ἀλλ’ ὡς συνεχέστερόν τε τῶν ἄλλων γινομένας τὰς τέσσαρας ἀρκούσας τε παραδείγματα γίγνεσθαι μετὰ τῆς ἐν τῷ Περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων αἰτιολογίας ἠξίωσε⟨ν ἐν⟩ τοῖς Ἀφορισμοῖς γραφῆναι.

17a 28 ἀλλὰ καί, εἰ [μὴ] παρελελοίπει τελέως τὴν αἰτιολογίαν, ἡμεῖς ἂν αὐτὴν εὕρομεν ἐκ τῶν ἐν τοῖς Ἀφορισμοῖς ὑπ’ αὐτοῦ γεγραμμένων, ἱκανῶν ὄντων ἀνδρὶ λογικῷ πρὸς τὴν τῶν εἰρημένων εὕρεσιν. ἐπίστασθαι γάρ σε χρὴ τοῦτο δεδειγμένον μὲν ὑφ’ ἡμῶν ἤδη πολλάκις ἐν πολλοῖς αὐτάρκως, εἰρησόμενον δὲ καὶ νῦν, εἰς ὅσον ἀναγκαῖόν ἐστιν αὐτοῦ μνημονεύειν, ὡς τὰς κατὰ μέρος ἐν ἁπάσαις τέχναις συμπλοκὰς αὐτῶν τῶν πραγμάτων ἀδύνατόν ἐστι δι’ ἐμπειρίας γνωσθῆναι διὰ τὸ πλῆθος, ἀλλ’ ἐπὶ πάσαις αὐταῖς ὁδὸς μία τῆς εὑρέσεώς ἐστιν, ἡ διὰ τῶν οἰκείων στοιχείων, ὥσπερ καὶ ἐν γραμματικῇ. τίνα τοίνυν οἰκεῖα στοιχεῖα τῶν καταστάσεών ἐστιν, ἴδωμεν ἀπὸ τοῦ πράγματος τῆς οὐσίας ὁρμηθέντες, ὡς ἐν τοῖς Περὶ ἀποδείξεως δεδιδάχαμεν. ἀναλαβὼν οὖν ἀπ’ ἀρχῆς τὸν λόγον ἤδη σοι δίειμι πάντα κατὰ τὸ συνεχές, μηδὲν παραλιπών· αἱ ὧραι τοῦ ἔτους διαφέρουσιν ὑγρότητι καὶ θερμότητι καὶ ψυχρότητι καὶ ξηρότητι, τοῦ μὲν χειμῶνος ὑγρότητι καὶ ψυχρότητι τὰς ἄλλας ὑπερβάλλοντος, ὥσπερ γε τοῦ θέρους θερμότητι καὶ ξηρότητι, τοῦ δ’ ἦρος ἀκριβῶς ἀμφοῖν ὄντος ἐν τῷ μεταξύ.

17a 29 κρατεῖ γὰρ οὐδέτερον ἐν αὐτῷ κατ’ οὐδετέραν ἀντίθεσιν, οὔτε τοῦ ξηροῦ τὸ ὑγρὸν οὔτε τοῦ θερμοῦ τὸ ψυχρόν, ⟨οὐδ’ ἐναντίως οὔτε τοῦ ὑγροῦ τὸ ξηρὸν οὔτε τοῦ ψυχροῦ τὸ θερμόν,⟩ ἀλλ’ οἷον ἰσομοιρία τις ἀμφοτέρων ἐστὶ τῶν ἀντιθέσεων ὁμοιότης τε τῶν ὡρῶν ἁπασῶν ὅλης τῆς ἡμέρας ὡς ἔγγιστα καὶ τῆς νυκτός, μηδεμιᾶς μεγάλης μεταλλαγῆς ἢ ὑπεροχῆς ἐν αὐταῖς γινομένης, ὁποία κατὰ φθινόπωρον ὁρᾶται, κρύους μὲν ἕωθεν ὄντος, ἀμφὶ δὲ τὸ μέσον τῆς ἡμέρας θάλπους ἰσχυροῦ, μεταπίπτοντος αὖ πάλιν εἰς κρύος καὶ τοῦδε δείλης ὀψίας. ** ἐπικρατεῖ δ’ ὅμως αὐτῶν τὸ μὲν ξηρὸν τοῦ ὑγροῦ, τὸ δὲ ψυχρὸν τοῦ θερμοῦ. τοιαύτη μὲν ἡ κρᾶσίς ἐστι τῶν ὡρῶν τοῦ ἔτους ὡς ἐπὶ τὸ πολύ, μεταβολῆς γινομένης κατὰ βραχὺ μέν, ὡς μηδ’ αἰσθάνεσθαί τινα διὰ παντὸς τοῦ χρόνου, κατὰ μείζονα δὲ καὶ αἰσθητῶς, οὐ μὴν ἀθρόως γε οὐδ’ ἀμέτρως ἐν ταῖς τῶν ὑγρῶν καὶ ⟨θερμῶν⟩ κατὰ φύσιν μεταβολαῖς. ἀρκτούρου γοῦν ἐπιτέλλοντος ὡς τὸ πολὺ σὺν ἀνέμοις ψυχροῖς ὑετὸς γίνεται κἀντεῦθεν ἤδη ⟨τὸ⟩ φθινόπωρον μὲν ἄρχεται, παύεται δὲ τὸ θέρος. εἶτ’ ἐν τῷ μετὰ ταῦτα χρόνῳ κατὰ βραχὺ καὶ ἀνεπαισθήτως γινομένης τῆς ἐπὶ τὸ ψυχρότερον μεταβολῆς ἡ τῆς πλειάδος δύσις αἰσθητὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐργάζεται τὴν τροπὴν ἐντεῦθέν τε πάλιν 〈ὁ χειμὼν〉 ὁμοίως ἐπὶ τὴν ἐαρινὴν ἰσημερίαν ἀφικνεῖται, καί ποτε μὲν ὁμοία προσθήκη μέχρι πλειάδος ἐπιτολῆς γίνεται, πολλάκις δ’ αἰσθητὴ μέν τις ἐν τῷ περὶ τὴν ἰσημερίαν χρόνῳ, σύμμετρος δέ.

17a 30 καὶ μέντοι καὶ μετὰ τὴν τῆς πλειάδος ἐπιτολὴν αὐξάνεται τὸ θερμὸν καὶ τὸ ξηρὸν ἄχρι κυνὸς ἐπιτολῆς συμμέτρως καὶ κατὰ βραχύ, ἐλθόντος τε τούτου γενήσεται νότια μὲν ὀλίγα, ἐπ’ αὐτοῖς δ’ ὑετοὶ ἐπίσης τοῖς ἐτησίοις πνεύμασιν ἄχρι τῆς κατὰ τὸν ἀρκτοῦρον ἐπιτολῆς. καὶ τοίνυν ἥ τε πεῖρα καὶ ὁ λόγος ἡμᾶς ἐδίδαξεν, ὅταν οὕτως αἱ ὧραι τοῦ ἔτους προέρχωνταί τε καὶ εἰς ἀλλήλας μεταβάλλωσι, μήτε λοιμόν τινα μήθ’ ὅλως ἐπιδήμια νοσήματα γινόμενα, μόνας δὲ τὰς ὀνομαζομένας ὑπ’ αὐτοῦ σποράδας νόσους, τὰς κατὰ τὴν δίαιταν ἑπομένας. ἐπειδὴ 〈δὲ〉 καθ’ ἑκάστην τῶν ὡρῶν ἴδιος μὲν ἐπικρατεῖ χυμός, ὡς αὐτὸς ἐδίδαξε, τοῦ μὲν χειμῶνος τὸ φλέγμα, τοῦ δὲ ἦρος τὸ αἷμα, τοῦ δὲ θέρους 〈ἡ πικρὰ〉 χολή, φθινοπώρου δὲ ἡ ὀξεῖα, διὰ τοῦτο τοῖς κακῶς διαιτωμένοις οὐ τὰ αὐτὰ πλεονάζουσι νοσήματα κατὰ πάσας τὰς ὥρας, ἀλλὰ 〈ὡς〉 αὐτὸς ἐδίδαξε “τοῦ μὲν ἦρος τὰ μελαγχολικὰ καὶ τὰ μανικὰ καὶ ἐπιληπτικὰ καὶ αἵματος ῥύσιες” καὶ τἄλλα, ὅσα τούτων ἐφεξῆς καταλέγει, τοῦ δὲ θέρους ἔτους *** ὁμοίως καὶ τοῦ φθινοπώρου, χειμῶνος δ’ ἄλλα γινόμενα μὲν ἐκ τῶν κατὰ τὴν δίαιταν ἁμαρτημάτων, ὑπαλλασσόμενα δὲ ταῖς ἰδέαις διά τε τὴν ὥραν τοῦ ἐνιαυτοῦ καὶ τὴν ἡλικίαν τοῦ 〈ἁλισκομένου〉 καὶ φύσιν.

17a 31 ἐπειδὴ γὰρ καὶ κατὰ τὰς φύσεις καὶ κατὰ τὰς ἡλικίας αἵ τε κράσεις τῶν σωμάτων ἕτεραι γίνονται καὶ αἱ τῶν χυμῶν ἐπικράτειαι διαφέρουσι, διὰ τοῦτο καὶ κατὰ ταύτας νῦν ὑπαλλάσσεται τῶν νοσημάτων ἡ ἰδέα. περὶ μὲν οὖν τῶν ἐν ταῖς ἡλικίαις διαφορῶν ὡδί πως ἔγραψεν· “ἐν δὲ ταῖς ἡλικίαις 〈τοιάδε〉 συμβαίνει· τοῖσι μὲν σμικροῖσι καὶ τοῖς νεογενέσι παιδίοισιν ἄφθαι, ἔμετοι” καὶ τἄλλα τὰ τούτων ἐφεξῆς γεγραμμένα κατὰ πᾶσαν ἡλικίαν. περὶ δὲ τῶν φύσεων ὡδί πως· “τῶν φύσεων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ καὶ κακῶς πεφύκασι.” φαίνεται τοίνυν καὶ ἴσον μὲν ἔχον λόγον τὸ σῶμα τοῦ κάμνοντος πρὸς τὸ αἴτιον ποιητικόν, τὸ περιέχον.

17a 32 ἐξ ἀμφοῖν δὲ συνελθόντων ἡ ἐπίκτητος ἀποτελεῖται κρᾶσις, ἐφ’ ᾗ τῶν ἐπιδημησάντων νοσημάτων ἡ γένεσις. ἐὰν οὖν ἴδωμεν, 〈ὁπ〉 οἷόν τι πέφυκεν εἰς τὸ σῶμα δρᾶν τῶν ἀνθρώπων ἡ τοῦ περιέχοντος θερμότης, ὁποῖον δὲ ἡ ψυχρότης τε καὶ ξηρότης καὶ ὑγρότης, ἴδωμεν δὲ καὶ τὴν ὕλην αὐτὴν τὴν πάσχουσαν ὁποία τίς ἐστιν, οὐκέτι χαλεπὸν εὑρεῖν καὶ προγνῶναι τὰ γενησόμενα νοσήματα. καὶ τούτων αὐτῶν ἔτι πρότερον εἰσόμεθα καλῶς εἰρημένον τὸ “ἐν τοῖσι καθεστῶσι καιροῖσιν, ἢν αἱ ὧραι τὰ ὡραῖα ἀποδιδῶσι, εὐσταθέσταται καὶ εὐκρινέσταται αἱ νοῦσοι γίνονται, ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν ἀκατάστατοι καὶ δύσκριτοι.” τίνες οὖν αἱ δυνάμεις εἰσὶ τῶν εἰρημένων ποιοτήτων, ὑγρότητος καὶ ξηρότητος, θερμότητος καὶ ψυχρότητος, ἀκούσωμεν αὐτοῦ τοῦ Ἱπποκράτους ἐν τοῖς Ἀφορισμοῖς λέγοντος· “τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσιν ὑγιεινότεροι καὶ ἧσσον θανατώδεις. νοσήματα δ’ ἐν ταῖς ἐπομβρίαις ὡς τὰ πολλὰ γίνονται πυρετοί τε μακροὶ καὶ κοιλίης ῥύσιες καὶ σηπεδόνες, ἐπίληπτοι καὶ ἀπόπληκτοι καὶ κυνάγχαι, ἐν δὲ τοῖς αὐχμοῖσι φθινώδεις ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι, 〈δυσεντερίαι〉.

17a 33 ” ταῦτα μὲν οὖν αὐτῷ λέλεκται περὶ τῶν εἰς πλείονα χρόνον ἐκτεταμένων καταστάσεων. ὥσπερ δὲ καὶ περὶ τῆς καθ’ ὑγρότητα καὶ ξηρότητα διαφορᾶς ἐν τούτοις ἐδίδασκεν, οὕτως 〈καὶ〉 περὶ τῆς κατὰ θερμότητα καὶ ψυχρότητα δι’ ὧν ἔγραψε περὶ τῶν βορείων τε καὶ νοτίων καταστάσεων. ἐπὶ γὰρ τῆς ἡμετέρας οἰκήσεως ὁ μὲν βορρᾶς ψυχρός, ὁ δὲ νότος θερμός ἐστι, πλὴν εἴ που σπανίως ἐν ἀρχῇ τοῦ ἦρος ψυχρὸς ἢ κατ’ ἄλλην τινὰ ὥραν ἐπὶ βραχὺ πνεύσειε τοιοῦτος, οὐδὲ τότε τοῦ βορρᾶ ψυχρότερος. ἄκουσον οὖν ἑξῆς, ὡς καὶ περὶ τούτων ἐν Ἀφορισμοῖς ἔγραψεν ἀρξάμενος ὧδε· “νότοι βαρυήκοοι, ἀχλυώδεις, καρηβαρικοί, νωθροί,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαλυτικοί. ὅταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀρρωστίῃσι πάσχουσιν. ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραί, δυσουρίαι φρικώδεις, ὀδύναι πλευρέων, στηθέων· ὅταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀρρωστίῃσι προσδέχεσθαι.” ταῦτα μὲν οὖν αὐτῷ λέλεκται περὶ τῶν ἰσχυρῶν νοτίων καὶ βο ρείων καταστάσεων τῶν ἐν πλείονι χρόνῳ γινομένων.

17a 34 ἐνδείκνυται γὰρ 〈ταύτην τὴν γνώμην〉 διὰ τοῦ δυναστεύειν ὀνόματος, ὡς οὐκ ἂν 〈ὑπὲρ ἀνέμου τινὸς〉 ἐπὶ τοῦ ἦρος οὔτ’ 〈ἐν〉 βραχεῖ χρόνῳ πνεύσαντος οὔτ’ ἐπὶ πλείοσιν ἡμέραις, ἀλλ’ ἀσθενοῦς εἰπὼν τοῦτο τοὔνομα. περὶ δὲ τῶν ἐφημέρων νοτίων τε καὶ βορείων πνευμάτων ἄκουσον αὖθις ἃ λέγει· “αἱ μὲν καθημεριναὶ καταστάσιες αἱ μὲν βόρειοι τά τε σώματα συνιστῶσι καὶ εὔτονα καὶ εὐκίνητα καὶ εὔχροα καὶ εὐηκοώτερα ποιέουσι καὶ τὰς κοιλίας ξηραίνουσι καὶ τὰ ὄμματα δάκνουσι καὶ περὶ τὸν θώρακα ἄλγημα, ἤν τι προϋπάρχῃ, μᾶλλον πονέουσιν. αἱ δὲ νότιοι διαλύουσι τὰ σώματα καὶ ὑγραίνουσι καὶ βαρυ〈η〉κοΐας 〈καὶ καρηβαρίας〉 καὶ ἰλίγγους ἐμποιέουσιν ἔτι τοῖς ὀφθαλμιῶσιν καὶ ἐν τῷ σώματι δυσκινησίαν καὶ τὰς κοιλίας ὑγραίνουσιν.” εἴρηται δὲ ἐν Ἀφορισμοῖς ὑπ’ αὐτοῦ καὶ ἄλλα γέ τινα περί τε φύσεως ὡρῶν καὶ τῆς ἀθρόας εἰς ἀλλήλας μεταβολῆς, ὧν ἕκαστον κατὰ τὸν προσήκοντα καιρὸν μνημονεύσομεν. ἐν 〈δὲ〉 τῷ παρόντι τοῦτο μόνον ἀρκεῖ διδαχθὲν[τας] τὰς [πρώτας] στοιχειώδεις δυνάμεις τῶν καταστάσεων ὑπ’ αὐ τοῦ τοῦ Ἱπποκράτους εἰρῆσθαι, καθ’ ἃς χρὴ περὶ πασῶν τῶν ὁπωσοῦν γενομένων καταστάσεων ὁδῷ καὶ τάξει προϊόντας ἡμᾶς ἐξευρίσκειν, ὁποῖά τέ τινα γενήσεται νοσήματα καὶ ὅπως αὐτὰ 〈συνίστασθαι〉 κωλυτέον ἐστὶν ἢ συστάντα θεραπευτέον· οὗτος γὰρ μέγιστος καρπὸς τῆς ἐνεστώσης πραγματείας.

17a 35 ἐν δὲ τοῖς στοιχειώδεσι τούτων ἔστι καὶ ἡ χώρα συνενδεικνυμένη καὶ αὐτή τι πρὸς τὴν τῶν νοσημάτων γένεσιν, ὥσπερ ἥ τε φύσις ἑκάστου καὶ ἡ ἡλικία καὶ τὸ ἐπιτήδευμα καὶ ἡ δίαιτα. δέδεικται δ’ ὑπ’ αὐτοῦ σαφῶς ἐν τῷ Περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων, ὁποῖά τινα καθ’ ἑκάστην χώραν πλεονάζει νοσήματα. δυνήσῃ τοιγαροῦν, ὅταν ἡ τοῦ περιέχοντος ἡμᾶς κατάστασις ἀμέτρως ψυχρὰ καὶ ὑγρὰ γενομένη κατὰ τὴν ἑαυτῆς φύσιν ἐργάζεσθαι μέλλῃ τὰ ὑπ’ αὐτοῦ δεδειγμένα νοσήματα, καὶ τὴν παρὰ τῆς οἰκήσεως ἔνδειξιν λαβεῖν ὁμοίαν τῇ παρὰ τῆς 〈ἡλικίας〉 τε καὶ τῆς φύσεως καὶ τῶν ἐπιτηδευμάτων καὶ τῆς ὅλης διαίτης. τὰ μὲν γὰρ ὑγρὰ καὶ ψυχρὰ τῇ φύσει 〈σώματα〉 κατὰ τὰς ἔξωθεν περιστάσεις ῥᾷον ἁλώσεται τοῖς ὑπὸ τῆς ὑγρᾶς καὶ ψυχρᾶς καταστάσεως ἐσομένοις νοσήμασι, τὰ δὲ ἐναντία δυσχερέστερον.

17a 36 ἐὰν οὖν οἴκησις ὑγρὰ καὶ ψυχρὰ κατὰ τὸν ἑαυτῆς λόγον καὶ τὴν κατάστασιν ἔχῃ τοιαύτην, ἕτοιμος τῶν οἰκείων τῇ καταστάσει νοσημάτων ἡ γένεσις ἔσται, συντελούσης τι καὶ τῆς οἰκήσεως, ὥσπερ γε 〈κἂν〉 πάλιν ἡ ἀμέτρως θερμή ποτε γένοιτο καὶ ὑγρὰ κατάστασις, οἵαν ἐν τῇ δευτέρᾳ τῶν Ἐπιδημιῶν ἔγραψεν ἐν ἀρχῇ λέγων· ” 〈Ἄνθρακες ἐν Κρανῶνι θερινοί·〉 ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ διόλου.” συντελέσει δέ τι πρὸς τὴν τῶν εἰρημένων σηπεδονωδῶν νοσημάτων γένεσιν ἡ χώρα μάλιστα μέν, ἐὰν κατ’ ἄμφω δύσκρατος ᾖ, θερμοτέρα καὶ ὑγροτέρα καθεστῶσα, συντελέσει δὲ κἂν κατὰ τὸ ἕτερον τούτων [εἰ] ἀμέτρως ᾖ κεκραμένη, καθάπερ ἡ Κρανὼν ἐν κοίλῳ καὶ μεσημβρινῷ χωρίῳ κειμένη καὶ διὰ τοῦτο μάλιστα σηπεδονώδεσι νοσήμασι, τοῖς ἄνθραξιν, ἁλοῦσα, πρὸς τοῖς ἄλλοις ἀτόποις ἔτι καὶ διὰ τὸ τὰ βόρεια τῶν πνευμάτων ἀπεστράφθαι καύμασι καὶ ταῖς καλουμέναις νηνεμίαις κατεχομένη. Κρανὼν μὲν οὖν τοιαύτη, Θάσος δὲ τοὔμπαλιν. ἔστραπται γὰρ πρὸς τὰ βόρεια καὶ ψυχρὰ πνεύματα καταντικρὺς τῆς Θρᾴκης κειμένη.

17a 37 γενομένης οὖν τῆς καταστάσεως ὅλης ἐπὶ τὰ νότια καὶ μετ’ αὐχμῶν, οὐκ ἦν εὐάλωτον τὸ χωρίον, ὅσον ἐφ’ ἑαυτῷ, τῇ καταστάσει. εἰ γὰρ μεσημβρινὸν ἦν ἔτι καὶ κοῖλον, ἐσχάτως ἂν ἡ εἰρημένη κατάστασις ἐγεγόνει λοιμώδης αὐτῇ. Ὕδατα πολλ ά , συνεχέα μαλθακῶ c . Τρισσῶς ὕδατα γίνεται πολλ ά, ποτὲ μὲν διὰ τὸν ὑετὸν αὐτὸν ἀθρόως ἐκρηγνύμενον, ἐνίοτε δὲ τῷ μήκει τοῦ χρόνου, κἂν ψεκάδες ὦσι μόναι καθ’ ἑκάστην ἡμέραν γινόμεναι, καί ποτ’ ἀμφοῖν ἅμα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνελθόντων. ἔχεις δὲ αὐτῶν πάντων παραδείγματα γεγραμμένα κατὰ τὰ τῶν Ἐπιδημιῶν βιβλία, τοῦ μὲν πρώτου τρόπου τὴν κατάστασιν, ἧς ἄρχεται τόνδε τὸν τρόπον· "ἐν Θάσῳ πρὸ ἀρκτούρου 〈ὀλίγον καὶ ἐπ' ἀρκτούρῳ〉 ὕδατα πολλά, 〈μεγάλα ἐν βορείοις·〉" δηλοῖ γὰρ τοῦτο τὸ "μεγάλα" πλῆθος ὕδατος ἀθρόου. τοῦ δὲ δευτέρου τρόπου παράδειγμα τὸ νῦν εἰρημένον ἐστίν· ὕδα τα πολλ ά , συνεχέα μαλθακῶ c· τὸ γὰρ πλῆθος αὐτῶν ἠθροίσθη διὰ τὸ συνεχῶς ἐν χρόνῳ πλείονι γενέσθαι καὶ μὴ καθάπαξ λάβρως ἐν ἑνὶ καιρῷ. [10]

17a 38 τοῦ δὲ τρίτου τρόπου παράδειγμά ἐστι τὸ κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν ἐν ἀρχῇ γεγραμμένον· "ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ διόλου." τὸ μὲν γὰρ "λάβρον" πρὸς τὸν προειρημένον τρόπον κοινόν ἐστι, τὸ δὲ "διόλου" πρὸς τὸν δεύτερον. περὶ μὲν οὖν ἐκείνων τῶν καταστάσεων αὖθις ἐροῦμεν κατὰ τὸν οἰκεῖον καιρόν, ἡ δὲ προκειμένη νῦν ἐν τῷ λόγῳ μεταξὺ τῆς φθινοπωρινῆς ἰσημερίας καὶ τῆς ἀρχῆς τοῦ χειμῶνος γενομένη 〈τὰ〉 ὕδατα καθ' ὅλην αὐτὴν ἔσχε 〈συνεχῆ〉 μαλθακῶ c, ὡς αὐτὸς ἔφη 〈σε〉 ν, ὅπερ ἀντίκειται τῷ ἀθρόως καὶ λάβρως καὶ σφοδρῶς. Χειμὼν νότιο c . Ὅτι φθινοπώρου πέρας οἶδε καὶ αὐτὸς τὴν τῆς πλειάδος δύσιν ἣν διὰ συντόμου φωνῆς ὀνομάζει καὶ "πλειάδα". [13]

17a 39 σα φῶς ἐδήλωσε [εἰπὼν] μετὰ τὸ προειπεῖν "περὶ ἰσημερίην καὶ ὑπὸ πληιάδα" γράψας τούτων ἐφεξῆς χειμὼν νότιο c, ὡς οὐδενὸς ὄντος μεταξὺ χρόνου διηγήσεως ἰδίας δεομένου, συνάπτοντος δὴ χειμῶνος τῇ δύσει τῆς πλειάδος. Μικρὰ πνεύματα βόρει α . Μικρά φησι πνεύματα γενέσθαι τοῦ χειμῶνος. εἰ δέ γε κατὰ τὴν ἑαυτοῦ φύσιν ὁ χειμὼν ἐπεραίνετο, πάντως ἂν ἐγένετο μεγάλα. καὶ κατὰ διττὸν τρόπον ὑπῆρξεν ἂν αὐτοῖς τοῦτο, καθάπερ γε νῦν ἔοικε γεγονέναι σμικρ ά, κατά τε τὸ ἴδιον μέγεθος αὐτῶν καὶ κατὰ τὸ μῆκος τοῦ χρόνου. καὶ γὰρ ὀλίγαις ἡμέραις ἐγένετο βόρεια καὶ οὐκ ἰσχυρά, τοῦ χειμῶνος εἰθισμένου μέγαν ἴσχειν βορρᾶν ἐν χρόνῳ πολλῷ. Αὐχμο ί . [13]

17a 40 Τὴν ξηροτέραν τοῦ προσήκοντος κατάστασιν αὐχμὸν ὠνόμασεν οὐ πάνυ τι συνήθως. εἰώθαμεν γὰρ οὐ τὴν ἁπλῶς ξηροτέραν, ἀλλὰ τὴν ἄκρως ξηρὰν ὀνομάζειν οὕτως. ἀμήχανον δέ ἐστι καὶ ἄπιστον εἰς τοσοῦτον γενέσθαι τὸν χειμῶνα ξηρόν, ὡς αὐχμηρὰν ἀπεργάζεσθαι τὴν γῆν, ὥσπερ ἐν θέρει. οὐ 〈δὲ〉 γὰρ 〈οὐδ'〉 ἐν ἦρι τοιαύτη γίνεται κατάστασις, ᾗ νῦν ὅμοιον γεγονέναι φησὶ τὸν χειμῶνα. Τὸ σύνολον ἔς γε χειμῶνα οἷον ἔαρ γίνετα ι . Ξηρότερον μέντοι γ' ἑαυτοῦ φησι γεγονέναι τὸν χειμῶνα, οὐ μὴν ὡσαύτως τῷ θέρει ξηρόν, ὥς γε καὶ τὸν αὐχμόν, ὃν ὀλίγον ἔμπροσθεν ἔφαμεν οὐ πάνυ τι κυρίως εἰρῆσθαι. [10]

17a 41 λε κτέον οὖν ἐστιν οὐχ ἁπλῶς ὑπ' αὐτοῦ 〈τοῦτ'〉 εἰρῆσθαι νῦν, ἀλλ' ἐν τῷ πρός τι, καθάπερ μύρμηκα μέγαν ἢ ὄρος μικρόν. ὥστε ὁ χειμὼν ἐγένετο νῦν οὐχ ἁπλῶς αὐχμηρός, ὥσπερ οὐδὲ μέγας μύρμηξ ἁπλῶς μέγας, ἀλλ' ὡς μέγας μύρμηξ, οὗτός τε οὖν τοῦ ὄρους τοῦ σμικροῦ σμικρότερός ἐστιν ὅ τε χειμὼν ὁ αὐχμηρὸς ὑγρότερος τοῦ θέρους, ὥσπερ καὶ τὸν νῦν γεγενημένον χειμῶνα παραβάλλων εἶπε· τὸ σύνολον ἔς 〈γε〉 χειμῶνα οἷον ἔαρ γίνετα ι. Ἔαρ δὲ νότιον ψυχεινό ν , μικρὰ ὕσματ α . *** Ἔοικεν οὖν εἰρηκέναι τὸ ἔαρ νότιον, οὐχ ὡς οὐδ' ὅλως ἐν αὐτῷ γενομένων τῶν βορείων, ἀλλ' ὡς ὀλιγίστων ἐν ἀρχῇ καὶ οὕτως ὀλίγων, ὥστε τὴν ὅλην κατάστασιν τῆς ὥρας ἐκείνης νότιον εἰπεῖν. Θέρος ὡς τὸ πολὺ ἐπινέφελον · ἀνυδρίαι · ἐτησίαι ὀλίγα σμικρὰ διεσπασμένως ἔπνευσα ν . [14]

17a 42 Εἴ τις ἅπαντα τὰ περὶ τοῦ θέρους εἰρημένα συνθείη, φαίη ἂν καὶ τοῦτο νότιόν τε καὶ αὐχμηρὸν ἅμα γεγονέναι. Γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετὰ αὐχμῶ ν . Οὐχ ὡς οὐδέποτε γενομένης ἐκδοχῆς ὑδάτων ἐν ὅλῳ τῷ ἔτει τὸ μετ' αὐχμῶν εἶπεν, ἀλλ' ὡς ὀλιγίστων παντάπασιν. πλὴν γὰρ τοῦ πρώτου χρόνου τοῦ μετὰ τὴν φθινοπωρινὴν ἰσημερίαν ἄχρι πλειάδος πᾶς ὁ λοιπὸς ἐπικρατοῦσαν ἔσχηκεν ἱκανῶς τὴν ἀνυδρίαν. ἀγωγὴν δὲ δηλονότι τὴν κατάστασιν ὠνόμασε τοῦ περιέχοντος. εἴπερ οὖν ἀληθές ἐστιν ὡσαύτως τῷ περιέχοντι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνεξαλλοιοῦσθαι τὰ τῶν ζῴων σώματα, κατὰ μὲν τοὺς ὄμβρους ὑγρότερα γενήσονται, κατὰ δὲ τοὺς αὐχμοὺς ξηρότερα, καὶ κατὰ μὲν τὰς θερμότητας ἐπικρατούσας ἡ κεφαλὴ καρωδεστάτη, κατὰ δὲ τὰς ψυχρότητας αὕτη μὲν ἔσται κουφοτάτη, τὰ δὲ κατὰ θώρακα καὶ πνεύμονα μόρια πονήσει.

17a 43 τῇ τοίνυν εἰρημένῃ καταστάσει, περὶ ἧς πρόκειται σκοπεῖσθαι, μεταξὺ τὴν φύσιν ἐχούσῃ τῆς τε αἰθρίου καὶ καθαρᾶς ἀκριβῶς καὶ τῆς μετ’ ὄμβρων ὁμοιούμενα τὰ σώματα μέσην ἕξει κατάστασιν κράσεως, ἣν ἐπίτρεψόν μοι καλέσαι νεφελώδη. τοιούτου γὰρ ὄντος τοῦ περιέχοντος, ὑποκειμένου δὲ καὶ τοῦ συναλλοιοῦσθαί τε καὶ συνεξομοιοῦσθαι τούτῳ τὰ σώματα, σαφηνείας ἕνεκεν οὐδὲν ἂν εἴη χεῖρον ὠνομάσθαι τὴν ἐν αὐτοῖς γενομένην κατάστασιν οἷον νεφελώδη τινά. καθάπερ οὖν, ὅταν ὁ χειμὼν φυλάττῃ τὴν οἰκείαν κρᾶσιν, ἀναγκαῖόν ἐστιν 〈τὸν〉 ὑγρὸν καὶ ψυχρὸν χυμὸν γεγενῆσθαι, τὸ φλέγμα, τοῦ θέρους δ’ ἔμπαλιν τὸν θερμὸν καὶ ξηρόν, τὴν ὠχρὰν χολήν, οὕτως, ὁπότε νεφελῶδές ἐστι τὸ περιέχον, ἐπικρατεῖ τις τῶν χυμῶν ἐν μὲν ταῖς φλεγματικαῖς φύσεσι καὶ ἡλικίαις 〈τὸ〉 ὁμιχλῶδές τε καὶ νεφελῶδες, ὡς ἂν εἴποι τις, φλέγμα, κατὰ δὲ τὰς πικροχόλους αὖ πάλιν ἡ ὁμιχλώδης τε καὶ νεφελώδης χολή.

17a 44 διὰ παντὸς μὲν γὰρ ἀπορρεῖ τι τοῦ σώματος ἡμῶν ἀτμῶδες, ἀλλ’ ἐν μὲν ταῖς ξηραῖς καταστάσεσι πλεῖστον, ἐν δὲ ταῖς ὑγραῖς ὀλίγιστον. ἀθροιζόμενον οὖν ἔνδον τοῦτο παραπλήσιον ὁμίχλῃ καὶ ἀχλύι τὸ σύμφυτον ἡμῖν ἐργάζεται πνεῦμα· ὁποῖον γάρ ἐστιν ἐν τῷ περιέχοντι τὰ ζῷα 〈τὸ ὁμιχλῶδες, τοιοῦτος τοῦ〉 πνεύματος ὁ ἀτμός, ὥστε κἀνταῦθα θαρρήσας ἂν εἴποι τις ἐν τοιαύτῃ καταστάσει γίνεσθαι τῷ ἐν ἡμῖν πνεύματι 〈ταὐτὸ καὶ τῇ ὁμίχλῃ καὶ ἀχλύι.〉 καὶ μὴν ὅταν ὁμίχλη τις ἢ ἀχλὺς ἐν ἑνὶ χρόνῳ συμπάσχῃ δύο ταυτὶ 〈τὰ〉 παθήματα, τό τ’ ἀναφέρεσθαι καὶ τὸ πιλοῦσθαι, νεφέλη γίνεται λευκή 〈τε καὶ μέλαινα〉. ἄνευ μὲν γὰρ ὑγρότητος βορείου τοῦ ἀέρος ἀκριβῶς ὄντος οὐκ ἄν ποτε γένοιτο νέφος· ἤτοι δὲ λαμπρὸν ἢ μέλαν ἀποτελεῖται τοῦτο δι’ ἀραίωσιν ἢ πίλησιν. ἀραιούμενον γοῦν τὸ νέφος εἰς ἑαυτὸ καταδέχεται τὸ τοῦ ἡλίου φῶς καὶ διὰ τοῦτο φαίνεται λαμπρόν, ὡς ἂν ἐλλαμπούσης 〈ἐν〉 αὐτῷ τῆς ἡλιακῆς αὐγῆς, ὥσπερ ἐν τοῖς διαφανέσι σώμασιν.

17a 45 πιληθέντος δὲ καὶ πυκνωθέντος τοῦ νέφους οὐ διεισέρχεται μὲν αὐτὸ τὸ ἡλιακὸν φῶς, μέλαν δὲ εἰκότως φαίνεται τὸ τοιοῦτον, ὥσπερ καὶ αὐτὸς ὁ ἀὴρ τῆς νυκτός, ἀπολιπόντος αὐτὸν τοῦ παρ’ ἡλίου φωτός. καὶ φαίνεται 〈δὲ〉 σαφῶς ὁμίχλη πολλάκις μὲν ἐπὶ τὴν γῆν καταρρέουσα καὶ καλεῖται τὸ τοιοῦτον δρόσος, ἐνίοτε δὲ εἰς ὕψος αἰρομένη καὶ προφανῶς γινομένη νέφος ἤτοι λευκὸν ἢ μέλαν, λευκὸν μέν, ὅταν, ὡς εἶπον, εἰς ὅλον αὑτὸ δέξηται τὴν ἡλιακὴν αὐγήν, μέλαν δέ, ἐπειδὰν μηδ’ ὅλως ὑποδέξηται. τὰ δ’ ἄλλα τὰ μεταξὺ τούτων χρώματα κατὰ τὸ ποσὸν τῆς κεραννυμένης αὐγῆς τὰ νέφη λαμβάνει. καί σοι τάχα δόξει διαφέρεσθαι πρὸς ἑαυτὸν ὁ λόγος, ἀναφέρεσθαί τε λέγων εἰς ὕψος τὴν ὑγρότητα καὶ πιλοῦσθαι. τὸ μὲν γὰρ ἀναφέρεσθαι θερμότητος ἔργον ἐστί, τὸ δὲ πιλοῦσθαι ψυχρότητος. ἀδύνατον δέ ἐστι ταὐτὸν ἅμα θερμὸν εἶναι καὶ ψυχρόν. ἀλλ’ ἐὰν ἐννοήσῃς αὐτὴν μὲν τὴν ἀναφερομένην ἀτμίδα θερμὴν εἶναι καὶ διὰ τοῦτο πρὸς τὸ μετέωρον αἴρεσθαι, τὸν δ’ ὑποδεχόμενον αὐτὴν ἀέρα ψυχρόν, οὐκέτι ἀπορήσεις, ὅπως ἀναφέρεταί τε ἅμα καὶ πιλεῖται.

17a 46 τὸ μὲν γὰρ ἀναφέρεσθαι παρ’ ἑαυτῆς ἕξει, τὸ δὲ συνάγεσθαι καὶ σφίγγεσθαι διὰ τὸν ὑποδεχόμενον ἀέρα, καὶ ὅσῳ γ’ ἂν ᾖ ψυχρότερος οὗτος, τοσούτῳ μᾶλλον πιλήσει τε καὶ συνάξει τὴν ἀναφερομένην ὁμίχλην. ὅταν οὖν ὁ ἀὴρ μήτε θερμότητ’ ἐναργῆ μήτε ψυχρότητ’ ἔχῃ, τοιαύτην ἀναγκαῖόν ἐστιν ἐν αὐτῷ διαμένειν τὴν ὑψωθεῖσαν ὁμίχλην, οἵαπερ ἦν ἐξ ἀρχῆς, καὶ γίγνεσθαι λευκὸν μὲν ἀκριβῶς ἐξ αὐτῆς νέφος, ἐπειδὰν ὑπὸ τῆς ἡλιακῆς αὐγῆς νικηθῇ, μεταξὺ δὲ λευκοῦ τε καὶ μέλανος, ὅταν μὴ τελέως αὐτὴν ὁ ἥλιος καταλάμπῃ. μὴ τοίνυν θαύμαζε, διὰ τί τὰ σώματα τῶν ζῴων ὁμοίαν ἴσχει ποτὲ τοιᾷδε καταστάσει τὴν ἐν αὐτοῖς

διάθεσιν, ἀλλὰ πείθου λέγοντος Ἱπποκράτους “νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοί, νωθροί, διαλυτικοί”. διηγεῖται γὰρ ἐν τῷ λόγῳ τῷδε τὰ παθήματα τοῦ σώματος, ἃ πάσχει μὲν ἐν ταῖς νοτίοις καταστάσεσιν, ὥστε, ὥσπερ τὸ ” 〈καρηβαρικοὶ καὶ〉 βαρυήκοοι καὶ διαλυτικοὶ καὶ νωθρο ί” κατὰ τῶν ὑπὸ τοῦ νότου γινομένων ἐν τοῖς ἡμετέροις σώμασιν εἴρηται προδήλως, οὕτως ἡγεῖσθαι χρὴ καὶ τὸ ” ἀχλυώδεε c” λελέχθαι, τῆς ἐν ἡμῖν ἀθροιζομένης ἀχλύος διὰ νότου δηλωτικὸν ὄν, οὐ τῆς τοῦ περιέχοντος. [15]

17a 47 Πρωῒ μὲν τοῦ ἦρος ἐκ τῆς πρόσθεν καταστάσιος ὑπεναντίης καὶ βορείου γενομένης ὀλίγοισιν ἐγένοντο καῦσοι καὶ τούτοισι πάνυ εὐσταθεῖ c , καὶ ὀλίγοις ἡμορράγησε ν , οὐ δ ’ ἀπέθνησκον ἐκ τούτω ν . Ὅτι μὲν ὀλιγοχρόνιος ἡ βόρειος κατάστασις ἐγένετο πρωὶ τοῦ ἦρο c, εὔδηλόν ἐστιν ἐκ τοῦ τὴν ὅλην τοῦ 〈ἦρος〉 κρᾶσιν προειρῆσθαι πρὸς αὐτοῦ “νότιον”, οὐκ ἂν οὕτως εἰπόντος, εἴπερ ἐπὶ πολλὰς ἡμέρας ἔπνευσεν ὁ βορρᾶς. ὅμως δὲ καίπερ ὀλίγας ἡμέρας γενομένου βορείου τοῦ περιέχοντος, καυσώδη τινὰ νοσήματα συνέπεσεν ὀλίγοι c, ἐπιεικῆ πάνυ καὶ ταχέως καθιστάμενα. φησὶ γὰρ καὶ τούτοισι πάνυ εὐσταθεῖ c. γράφουσι δ’ ἔνιοι [οὐ] πάνυ εὐσταθ ῆ, τινὲς δὲ εὐσταθέα κατὰ τὴν Ἰωνικὴν γλῶτταν, ἐν ἴσῳ τῷ μέτρια καὶ οὐδὲν ὀλέθριον ἔχοντα. [15]

17a 48 καὶ μέντοι καὶ ὀλίγοις αἱμορραγῆσαί φησιν, ὅπερ ἦν ἴδιον τῶν σφοδρῶν καύσω ν, ὥσπερ καὶ τὸ παραληρεῖν καὶ τὸ ἀποθνήσκειν, ἅπερ οὐδ’ αὐτὰ τοῖς τότε γενομένοις συνέπεσεν, ἀλλὰ μετριώτατοί τε καὶ ὀλιγίστοις ἐγένοντο, τοῦ σφοδροῦ καὶ ὡς ἂν εἴποι τις γνησίου καύσου τὴν γένεσιν ἐπὶ τῇ ξανθῇ χολῇ λαμβάνοντος, ἣν δὴ καὶ ὠχρὰν χολὴν ὀνομάζουσιν. ταύτην δ’, ὡς ἐδείκνυμεν, ἐν τῇ προκειμένῃ καταστάσει μόνον κατὰ τὸ προγεγονὸς θέρος ἔσχον οἱ φύσει χολώδεις οὐ πολλήν, οὐκ ἐν τῷ μετὰ ταῦτα χρόνῳ διὰ τὸ τὴν εἰρημένην κατάστασιν ὑγρὰν οὖσαν ἔτι καὶ μᾶλλον ἀχλυώδη τε καὶ ὁμιχλώδη γενέσθαι. εἰκότως οὖν ὀλιγίστοις συνέπεσεν ὁ καῦσο c, οἳ πάνυ χολώδεις ἦσαν, καὶ τούτοις οὐκ ἀκριβὴς οὐδὲ σφοδρός, ἀλλ’ ἐπιεικὴς καὶ λυθῆναι ῥᾴδιος. οἷς δ’ οὖν συνέβη, διὰ τήνδε τὴν αἰτίαν ἐγένετο. προήγητο μὲν δὴ τὸ θέρος τοῦ φθινοπώρου κατὰ φύσιν ἔχον. ἄρχεται γὰρ ὁ Ἱπποκράτης τῆς τῶν καταστάσεων διηγήσεως, ὅταν πρῶτον εἰς τὸ παρὰ φύσιν ἐκτραπῇ τὸ περιέχον. [15]

17a 49 ἀναγκαῖον δ’ ἦν ἐν τῷ κατὰ φύσιν θέρει τοῖς πάνυ χολώδεσιν ἠθροῖσθαι πλείονα τὸν χυμὸν τοῦτον. ἐφεξῆς οὖν ἡ γενομένη κατάστασις ἐν ἅπαντι τῷ χειμῶνι μέχρι τοῦ ἦρος οὔτ’ ηὔξησέ τι τὸν χυμὸν τοῦτον, οὐ γὰρ ἦν θερμὴ σφοδρῶς καὶ ξηρά, καθάπερ τὸ θέρος, οὔτ’ ἐμείωσέ τι, οὐ γὰρ 〈ἦν〉 ἱκανῶς ψυχρά, καθάπερ ὁ κατὰ φύσιν ἔχων χειμών, ἀλλ’ οὐδὲ διεφόρησεν, οὐ γὰρ ἦν ἀκριβῶς ξηρά. λείπεται τοίνυν αὐτὸν διαφυλαχθῆναι προσλαβόντα τὴν οἷον ἀχλυώδη τε καὶ ὁμιχλώδη διὰ τὴν τοῦ περιέχοντος ὀλίγην ὑγρότητά τε καὶ θερμότητα συντραφεῖσαν ἀτμίδα. πρωὶ δὲ τοῦ ἦρος ἐξαίφνης ἀήθως γενομένου τοῦ βορρ ᾶ, πρὸς τὸ βάθος τοῦ σώματος ὠθουμένων ὑπ’ αὐτοῦ τῶν χυμῶν ὁ λεπτότατος πρῶτος ἐρρύη καὶ οὕτως εἰργάσατο τὸν καῦσο ν. οὐ γὰρ ἐν οἷς ἔτυχε μορίοις ἀθροιζόμενος τοῦ σώματος ὁ χυμὸς οὗτος ἐργάζεται 〈τὸν〉 καῦσο ν, ἀλλὰ περί τε τὴν γαστέρα καὶ ταύτης μάλιστα τὸ στόμα καὶ τοῦ ἥπατος τὰ σιμά. καὶ ὁμοίως οὐχ ἡμορράγει ** ἴδιον εἴπερ ἄλλο τι τῶν ἀκριβῶν καύσων ἐστὶ τὸ δι’ αἱμορραγίας κρίνεσθαι. [10]

17a 50 καλεῖ δ’ αἱμορραγίας ὁ Ἱπποκράτης ἄνευ τοῦ προσθεῖναι τὸ μέρος, ἐξ οὗ κενοῦται τὸ αἷμα, τὰς ἐκ τῶν μυκτήρων ἀποτελουμένας. οὐδὲν δέ ἐστι θαυμαστὸν ἀναστομοῦσθαί τε καὶ ἀναρρήγνυσθαι τὰς ἐνταῦθα φλέβας ὑπὸ τοῦ αἵματος ἐπὶ τὸ μετέωρον ἀναφερομένου διὰ τὴν θερμασίαν, ὑφ’ ἧς ἀναγκαῖόν ἐστιν αὐτὸ καὶ πνευματοῦσθαι καὶ τότε τὰς φλέβας ἀναστομοῦσθαί τε καὶ ἀναρρήγνυσθαι διὰ τὸ τοῦ πνεύματος πλῆθος, ὃ καὶ τοὺς ἀσκούς τε καὶ τοὺς πίθους ῥήγνυσιν ἀθροιζόμενον ἐν τῷ γλεύκει ζέοντι. τοῦτ’ οὖν τὸ σύμπτωμα τοῖς τότε γενομένοις καύσοις οὐκ ἠκολούθησεν, οὖσί γε μετρίοις, ὡς προείρηται. Ἐπάρματα δὲ παρὰ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὦτα πολλοῖσιν ἑτερόρροπα ἦν καὶ ἐξ ἀμφοτέρω ν , τοῖσι πλείστοισιν ἀπύροισιν ὀρθοστάδην· ἔστι δ ' οἷ σμικρὰ ἐπεθερμαίνοντ ο . κατέσβη πᾶσιν ἀσινέως οὐ δ ' ἐξεπύησεν οὐδενὶ ὥσπερ τὰ ἐξ ἄλλων προφάσεω ν . [15]

17a 51 ἦν δ ' ὁ τρόπος αὐτῶν χαῦν α , μεγάλ α , κεχυμέν α , οὐ μετὰ φλεγμονῆ ς , ἀνώδυνα· πᾶσιν ἀσήμως ἠφανίσθ η . Τὰ εἰρημένα πάντα διὰ τὴν πλεονεξίαν ἐγένετο τῆς ἀχλυώδους οὐσίας, ὑφ' ἧς τὰ μὲν ἅμα τῷ φλέγματι πέφυκε γίνεσθαι, τὰ δὲ ἅμα τῇ ξανθῇ χολῇ, τὰ [δὲ] ἐρυσιπελατώδη, ὅταν δ' ἅμα τῷ αἵματι, τὰ φλεγμονώδη. καθίσταται δὲ ἅπαντα ῥᾳδίως, διαφορουμένης τῆς τοιαύτης οὐσίας ἑτοίμως. ἔμπαλιν δ' αὐτοῖς ὅσα διὰ παχὺν καὶ γλίσχρον γίνεται χυμὸν δυσδιαφόρητα δεινῶς ὑπάρχει. τὰ δ' ἐν τῇ προκειμένῃ καταστάσει γεγενημένα χαῦνά τε ἦν, τουτέστι μαλακὰ καὶ ὑπείκοντα τοῖς δακτύλοις καὶ κατὰ τὴν ἐπίθλιψιν αὐτῶν βοθρούμενα, καὶ οὐ μετὰ φλεγμονῆ ς, ὅπερ ἐστὶν οὐ μετὰ φλογώσεως, ἀνώδυνά τε διὰ τὸ μηδέτερον αὐτοῖς συνεῖναι τῶν τὰς ὀδύνας ἐργαζομένων. ἔστι δὲ ταῦτα τάσις τῶν σωμάτων καὶ δυσκρασία σφοδρά. τάσις μὲν οὖν γίνε ται διὰ τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς ἐμφρασσομένους δυσλύτως τοῖς πάσχουσι μέρεσι, δυσκρασία δ' ἰσχυρὰ διὰ τὸ θερμοὺς ἄγαν ἢ ψυχροὺς ὑπάρχειν αὐτούς, ὥστ' εἰκότως ἀνώδυνα τὰ χαῦνα καὶ χωρὶς ἑλκώσεώς ἐστιν οἰδήματα. [10]

17a 52 διότι δὲ τοιαῦτ' ἦν καὶ ῥᾳδίως ἐλύετο, διὰ ταῦτ' οὐκ ἐξεπύησε ν , ὥσπερ τὰ ἐ π ' ἄλλαις προφάσεσι ν. ὀνομάζει δὲ προφάσεις ὁ Ἱπποκράτης ἐνίοτε μέν, ὡς ἔθος ἐστὶ τοῖς πολλοῖς, ἐπὶ τῶν ψευδῶς λεγομένων αἰτιῶν φέρων τοὔνομα, πολλάκις δὲ τὰς φανερὰς αἰτίας οὕτως καλεῖ, καί ποτε καὶ πάσας 〈αὐ〉 τὰς ἁπλῶς. ἀλλὰ νῦν γε τὰς ἐ π ' ἄλλαις προφάσεσιν ἐκπυήσεις εἴρηκεν ὅσας ἐδίδαξεν αὐτὸς ἐν πυρετοῖς γινομένας, ἐν οἷς μὲν ἠθροισμένοι εἰσὶ χυμοὶ πολλοὶ παχεῖς καὶ ὠμοί· διὰ δὲ τὴν σφοδρότητα καὶ τὴν ὀξύτητα καὶ τὸ πλῆθος τῆς θερμασίας τῆς πυρετώδους ἀναφέρονται πρὸς τὴν κεφαλήν, εἶτ' ἀποτιθεμένης αὐτοὺς τῆς φύσεως εἰς τοὺς ἐπὶ τοῖς ὠσὶν ἀδένας αἱ καλούμεναι γίνονται παρωτίδες. οὔτ' οὖν τοιαύτη τις ἦν περιουσία χυμῶν εἰς τὴν νῦν γενομένην κατάστασιν, 〈ὡς αὐτὰς ἐλθεῖν πρὸς ἐκπύησιν〉 , καὶ φθάσαντα διεφορήθη τὰ συστάντα παρὰ τοῖς ὠσὶν οἰδήματα διὰ τὸ πνευματῶδες τῆς οὐσίας. [15]

17a 53 εὔδηλον οὖν ὅτι τὰ μὲν καυσώδη κατὰ τὴν ἀρχὴν τοῦ ἦρος ἐγένετο τῶν βορείων 〈ἀνέμων〉 πνευσάντων, αἱ δ' εἰρημέναι παρωτίδες ἐν τῷ λοιπῷ χρόνῳ παντί. μετριώταται δ' ἦσαν εἰκότως δι' ἃς εἶπον αἰτίας, ὥστε καὶ ὀρθοστάδην ὑπ' αὐτῶν ἐνοχλεῖσθαι τοὺς ἀνθρώπους, ὅπερ ἐστὶ φέρειν αὐτὰς ἀλύπως περιερχομένους καὶ πράσσοντας τὰ συνήθη καὶ μὴ καταναγκαζομένους κλινήρεις γίνεσθαι, καθάπερ ἐν τοῖς σφοδροτέροις νοσήμασιν. τότε γὰρ οἱ κάμνοντες οὐδ' ἐπύρεσσον ἀξιολόγως, ἀλλ' εἰ καὶ πού τις ἐξ αὐτῶν ἐγένετο θερμότερος, ἐπὶ βραχὺ τοῦτ' ἔπασχε διὰ τὴν τοῦ πλεονάσαντος, ὡς εἴρηται, χυμοῦ φύσιν, ἀερώδους τὸ πλέον ὄντος καὶ ψυχροῦ. Ἐγίνετο δὲ ταῦτα μειρακίοις ι , νέοισι ν , ἀκμάζους ι , καὶ τούτων τοῖσι περὶ παλαίστρην καὶ γυμνάσια πλείστοις ι· γυναιξὶ δ ' ὀλίγῃσιν ἐγένετ ο . Κοινὸν τοῦτο 〈τὸ〉 αἴτιον ἐπὶ πάντων τῶν ἀποσκημμάτων ἐπίστασθαι χρὴ λελεγμένον ὑπ' αὐτοῦ δι' ἄλλων, ὡς οἱ μὲν θερμότεροι τῶν χυμῶν εἰς τὰ μετέωρα τοῦ σώματος ἀποσκήπτουσιν, οἱ δὲ ψυχρότεροι κάτω. [14]

17a 54 ἐπεὶ τοίνυν ὁ πλεονάσας ἐν τῇ 〈νῦν〉 καταστάσει χυμὸς ὑπόψυχρός τε καὶ ἀερώδης ἦν ἐν τῷ μέσῳ τὴν φύσιν καθεστὼς τῶν τ' ἄνω ῥᾳδίως φερομένων καὶ τῶν κάτω ῥεπόντων, διὰ τοῦτο μόνοις τοῖς θερμοτέροις τὴν κρᾶσιν ἢ διὰ τὴν ἡλικίαν ἢ διὰ τὸ ἐπιτήδευμα τὴν ὁρμὴν ἔσχεν ἐπὶ τὴν κεφαλήν. ἴσμεν δ' ὅτι τὰ μειράκια διὰ τὴν ἡλικίαν, οὐ διὰ τὸ ἐπιτήδευμα θερμά, καθάπερ γε καὶ οἱ ἀκμάζοντε ς , οἱ δὲ περὶ παλαίστραν καὶ γυμνάσια διατρίβοντες ἐκ τῶν ἐπιτηδευμάτων. εἰκότως γοῦν ὀλίγαις γυναιξὶν ἐγένετο, ταῖς δηλονότι νέαις τε καὶ φύσει θερμοτέραις καὶ μὴ πάνυ τι βίον ἀργὸν ἐζηκυίαις. Πολλοῖσι δὲ βῆχες ξηραὶ βήσσουσι καὶ οὐδὲν ἀνάγουσι καὶ φωναὶ βραγχώδεες οὐ μετὰ πολ ύ . [13]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17a 55 Τίνες μὲν αἱ ξηραὶ βῆχές εἰσιν, αὐτὸς ἐδήλωσεν εἰπὼν οὐδὲν ἀνάγους ι. γίγνονται δ’ αὗται ποτὲ μὲν ὑπὸ τραχύτητος μόνης τῶν κατὰ τὴν φάρυγγα καὶ 〈τὸν〉 λάρυγγα μορίων, οὐδεμιᾶς ἐν τῷ πνεύμονι περιουσίας ὑγρῶν οὔσης. οὗτοι μὲν οὖν οὐδὲν ἀναπτύουσι τῷ μηδ’ ὅλως ἔχειν τι περισσὸν ἀναγωγῆς τε καὶ κενώσεως δεόμενον. ἕτεραι δὲ βῆχες γίνονται ξηραὶ διὰ δυσκρασίαν τῶν ἀναπνευστικῶν ὀργάνων, ἐφ’ ὧν οὐδ’ αὐτῶν ἐστί τι ἀναπτυσθῆναι δεόμενον. ἄλλαι δ’ αὖ γίνονται πρὸς ὑγρῶν περιεχομένων 〈ἐν〉 αὐτοῖς ἐκκριθῆναι δεομένων, ἀλλ’ οὐκ ἐκκρίνεται ταῦτα διὰ διττὴν αἰτίαν, ἢ τῷ γλίσχρα τ’ εἶναι καὶ παχέα καὶ δυσαπολύτως ἐμπεπλάσθαι τοῖς κατὰ τὸν πνεύμονα βρόγχοις, ὅπερ ἐπὶ τῶν ἀπτύστων ὀνομαζομένων γίνεται πλευριτίδων, ἢ τῷ τὸ καταφερόμενον ὑγρὸν ἀπὸ τῆς κεφαλῆς λεπτὸν εἶναι κατὰ τὴν σύστασιν, οἷόνπερ τὸ ὕδωρ. [10]

17a 56 φθάνει γὰρ τὸ τοιοῦτον ἐν τῷ καταφέρεσθαι διά τε τοῦ λάρυγγος καὶ τῆς τραχείας ἀρτηρίας ἐν τῷ πνεύμονι γίνεσθαι, πρὶν ὑπὸ τοῦ κατὰ τὰς βῆχας ἀνενεχθῆναι πνεύματος, ὅπερ καὶ τότε τοῖς Θασίοις ἔοικε γεγονέναι, πεπληρωμένης μὲν ὑπὸ τῆς νοτίου καταστάσεως τῆς κεφαλῆς αὐτῶν, ἐπιπεμπούσης δὲ ῥεῦμα τοῖς κατὰ θώρακα πᾶσι χωρίοις. ὅτι δὲ τοιαύτη 〈τις〉 ἦν ἡ βή ξ, μαρτυρεῖ καὶ τὸ συνεδρεῦον αὐτῇ σύμπτωμα. βραγχώδεις γάρ, φησίν, οὕτω βήσσοντες ἐγένοντο, διαβρεχομένων δηλονότι τῶν ὀργάνων τῶν φωνητικῶν πρὸς τῆς καταφερομένης ὑγρότητος, ὡς ἐν τοῖς Περὶ φωνῆς ἐπιδέδεικται. Τοῖσι δὲ καὶ μετὰ χρόνον φλεγμοναὶ με τ ’ ὀδύνης εἰς ὄρχιν ἑτερόρροπο ι , τοῖσι δ ’ εἰς ἀμφοτέρου c . Τοῦ κατενεχθέντος ἐκ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα μέρος τι κατὰ τὴν κοινωνίαν τῶν ὀργάνων εἰς τοὺς ὄρχεις ἀφίκετο. [14]

17a 57 λέλεκται δ’ αὐτῷ περὶ τῆς κοινωνίας τῶν γεννητικῶν μορίων πρὸς τὰ κατὰ θώρακα δι’ ἑτέρων γραμμάτων. ἀλλὰ τοῦτό γε τὸ κατασκῆψαν εἰς τοὺς ὄρχεις κακοηθέστερον ἦν ἤδη, οὐκέθ’ ὅμοιον τῷ ἐξ ἀρχῆς, ὡς ἂν ἐν χρόνῳ πλείονι διασεσηπὸς ἐν τοῖς κατὰ πνεύμονα χωρίοις. εἰκότως τοιγαροῦν αἱ κατὰ τοὺς ὄρχεις φλεγμοναὶ με τ ’ ὀδύνης ἐγένοντο καὶ οὐχ ὥσπερ αἱ παρωτίδες ἀνώδυνοι. τοῦ δ’ ἤτοι τὸν ἕτερον ὄρχιν ἢ ἀμφοτέρους δέξασθαι τὴν περιουσίαν τῶν ὑγρῶν αἴτιον ἦν τὸ ποσὸν ἐν αὐτοῖς. οἷς 〈μὲν〉 γὰρ ὀλίγον ἀφίκετο, κατὰ τὸν ἕτερον ὄρχιν ἐστηρίζετο, οἷς δὲ πλέον, κα τ ’ ἀμφοτέρου c. Πυρετοὶ τοῖσι μέ ν , τοῖσι δ ’ ο ὔ . Τοὺς πλεονάσαντας χυμοὺς ἔφαμεν οὔτε θερμοὺς ἰσχυρῶς οὔτε ψυχροὺς ἄγαν εἶναι, μεταξὺ δ’ ἀμφοῖν τῇ φύσει καὶ μέσους τῇ κράσει, ὥστε παρά τε τὰς ἡλικίας καὶ τὰς φυσικὰς κράσεις καὶ τὰ ἐπιτηδεύματα τῶν νοσούντων τοῖς μὲν ἐπὶ τὸ θερμότερον ἔρρεπε καὶ κατὰ τοῦτ’ ἐπύρεξαν, ἔνιοι δὲ τὴν ἐξ ἀρχῆς ἐφύλαξαν κρᾶσιν, οὐχ ἱκανὴν οὖσαν ἐγεῖραι πυρετού c. [5]

17a 58 Ἐπιπόνως ταῦτα τοῖσι πλείστοισι Κατὰ πάντων ὧν εἶπεν ἐπιπεφώνηκε τοῦτο. προειρήκει δὲ βῆχάς τε καὶ φωνὰς βραγχώδεις καὶ ἀποστάσεις εἰς ὄρχιν καί τισιν αὐτῶν καὶ πυρετούς. ταῦτ’ οὖν φησι τὰ συμπτώματα τοῖς πλείστοις τῶν καμνόντων ἐπιπόνως συμβῆναι, τουτέστιν οὐκ εὐφόρως οὐδ’ ὥστε ῥᾳδίως ἀνέχεσθαι περιιόντας ὀρθοστάδην, ἀλλὰ τοὺς πλείστους αὐτῶν γενέσθαι κλινήρεις, ὡς ἂν ἀεὶ καὶ μᾶλλον ἐν χρόνῳ προιόντι τῶν ἠθροισμένων περιττωμάτων δριμυτέρων τε καὶ κακοηθεστέρων γενομένων. αἱ γάρ τοι νότιοι καταστάσεις χρονίζου σαι σηπεδόνας ἐργάζονται, καὶ μάλισθ’ ὅταν ὦσιν ὑγραί. [10]

17a 59 τῆς δὲ νῦν καταστάσεως οὐ γενομένης ὑγρᾶς μέχρι πλείστου μὲν οὐδὲν ἀνιαρὸν ἔπασχεν τὰ σώματα, τῷ χρόνῳ δ’ εἰς τὸ πάσχειν ἀφίκετο, καὶ τοιαῦτα συνέβη τισὶν αὐτῶν ὕστερον, οἷα κατ’ ἀρχὰς εὐθέως πᾶσιν ἂν ἦν, εἰ ἡ νότιος κατάστασις ὑγρὰ ἐγένετο. Τὰ δὲ ἄλλα ὁκόσα κα τ ’ ἰητρεῖον ἀνόσως διῆγο ν . Διχῶς ἔστιν ἐν τοῖς ἀντιγράμμασιν εὑρεῖν τὴν κα τ ’ ἰητρεῖον φωνήν, ἐν τισὶ μέν, ὡς εἴρηται νῦν, τῆς ἐσχάτης συλλαβῆς διὰ τοῦ ο γραφομένης, ἐν τισὶ δὲ διὰ τοῦ η, σημαινούσης τῆς μὲν προτέρας γραφῆς τὰ κατὰ τὸ ἰατρεῖον πραττόμενα, τῆς δὲ δευτέρας γραφῆς τὰ κατὰ τὴν ἰατρικὴν ὅλην, ὥστ’ ἤτοι τῶν κατὰ τὸ ἰατρεῖον ἔργων ἐπὶ τοῖς κάμνουσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γινομένων ἔξω καθεστηκέναι τοὺς Θασίους ἢ τῶν καθ’ ὅλην τὴν ἰατρικὴν 〈τοὺς〉 τὰ προειρημένα πάσχοντας τῶν καμνόντων. [10]

17a 60 καθ’ ἑκατέραν δὲ τήν τε γραφὴν καὶ τὴν διάνοιαν φαίνεται τὸ μετρίως ἐνοχληθῆναι τοὺς ἀνθρώπους ἐν τῷ χρόνῳ τοῦ ἦρος, ὡς ἂν τῆς τὰς νόσους ἐργαζομένης αἰτίας οὐδέπω τι κακόηθες ἐχούσης, ὃ προιόντος ἔσχε τοῦ χρόνου. Πρωὶ δὲ τοῦ θέρεος ἀρξάμενοι καὶ διὰ θέρεος καὶ [ το ῦ ] κατὰ τὸν χειμῶνα πολλοὶ τῶν ἤδη πολὺν χρόνον ὑποφθειρομένων φθινωδῶς κατεκλίνησα ν , ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι πολλοῖσιν ἐβεβαίωσε τότ ε . Οὓς ἔμπροσθεν εἶπε βήσσειν μέν, ἀνάγειν δὲ οὐδὲν ἐν τῷ ἦρι, τούτους ἐν τῷ θέρει φησὶ καὶ τῷ μετὰ θέρος χρόνῳ φθινώδεις γενέσθαι, συμφωνοῦν τι τοῦτο ἀεὶ τοῖς ὁρωμένοις διηγούμενος. ὅσα γὰρ ἀπὸ κεφαλῆς ῥεύματα βηχώδεις μὲν καὶ βραγχώδεις κατ’ ἀρχὰς ἐργάζεται τοὺς ἀνθρώπους, ἐν δὲ τῷ χρόνῳ προιόντι μὴ καθίσταται, ταῦτα τὴν ἑτέραν διαφορὰν τῶν φθίσεων ἐργάζεται. [15]

17a 61 δύο γὰρ αὐτῶν εἰσιν αἱ μέγισται διαφοραί, μία μὲν 〈ἡ〉 ἐκ τῶν ἀπὸ τῆς κεφαλῆς ῥευμάτων συνισταμένη, ἑτέρα δὲ ἡ ἐκ τῶν κατ’ αὐτὸν τὸν πνεύμονα παθῶν ὁρμωμένη, τοὐπίπαν μὲν ἐπὶ ταῖς τοῦ αἵματος πτύσεσι, μάλισθ’ ὅταν ἀγγεῖον ῥαγῇ, πολλάκις δὲ καὶ ῥευματισθέντος τοῦ σπλάγχνου διά τινα ἄλλην αἰτίαν ἐκ μορίων ἑτέρων, οὐκ [ἐκ τῶν] ἐκ τῆς κεφαλῆς. εἰ μὲν οὖν ἐπὶ τῷ ἦρι νοτίῳ γενομένῳ τὸ θέρος εἰς βόρειον μετέπεσε κατάστασιν, οὐκ ἂν ἐξηλέγχθησαν οἱ φθινωδῶς ὑποφθειρόμενοι καὶ τελέως ἐγένοντο φθινώδει ς. ἐπεὶ δ’ οὐ μόνον οὐ μετέπεσεν ἡ νότιος κατάστασις ἐπὶ τὴν βόρειον, ἀλλὰ καὶ τὸ πλεῖστον τοῦ θέρους ἐπινέφελον ἐγένετο, διὰ τοῦτο τὰ ἀπὸ τῆς κεφαλῆς ῥεύματα παρέμεινεν οἵ τ’ ἐν τῷ ῥεύματι χυμοὶ πάντες καὶ μάλιστα κατὰ τὸν πνεύμονα διεσάπησαν, ὥστε μηδὲν ἐλλείπειν εἰς ἀκριβοῦς φθίσεως γένεσιν. Ἔστι δ ’ οἷσιν ἤρξατο πρῶτον τότ ε , οἷσιν ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδε ς . [14]

17a 62 Φθινώδεις ὀνομάζουσιν οἱ παλαιοὶ τῶν ἰατρῶν ὅσοι τὴν φθινώδη νόσον, ἣν καὶ φθόην τινὲς ὀνομάζουσιν, ἐπιτήδειοι παθεῖν. τοιοῦτοι δ’ ὑπάρχουσι φανερώτατα μέν, ὅταν ὁ θώραξ στενὸς 〈ᾖ〉 καὶ ἀβαθὴς εἰς τοσοῦτον, ὡς τὰς ὠμοπλάτας ἐξέχειν ὀπίσω δίκην πτερύγων, ἐντεῦθεν δὲ καὶ πτερυγώδεις ὀνομάζουσι τοὺς τοιούτους. ἀλλὰ καὶ ὅσοι τὴν κεφαλὴν εὐπλήρωτοί τέ εἰσι καὶ ῥεύματα πολλὰ τοῖς ἀναπνευστικοῖς μορίοις ἐπιπέμπουσαν ἔχουσι, καὶ οὗτοι φθινώδεις ῥᾷστα γίνονται. συνελθόντων δ’ εἰς ταὐτὸν ἀμφοῖν, τῆς τε κατὰ τὸν θώρακα διαπλάσεως καὶ τῆς κατὰ τὴν κεφαλὴν ἀσθενείας, ἀκριβῶς αἱ τοιαῦται φύσεις φθινώδεις εἰσὶ κατ’ ἀμφοτέρας τῆς φθίσεως τὰς αἰτίας. καὶ γὰρ οἱ ἀπὸ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα ῥευματιζόμενοι τῷ χρόνῳ φθινώδεις γίνονται, καὶ ἀναρρήγνυται πολλάκις αὐτοῖς ἀγγεῖον ἐν τῷ πνεύμονι διά τε τὴν στε νότητα τοῦ σπλάγχνου καὶ τὴν ἀσθένειαν. [10]

17a 63 τοιοῦτοι μέν τινες οἱ φθινώδει ς. εἰρηκότος δὲ τοῦ Ἱπποκράτους “ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι πολλοῖσιν ἐβεβαίωσε τότε”, τουτέστι κατὰ τὸ θέρος, εἶτ’ ἐπιφέροντος ἔστι δ ’ οἷσιν ἤρξατο πρῶτον τότ ε , οἷσιν ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδε ς, οὔ μοι δοκεῖ τὸ εἰρημένον εὔλογον εἶναι. πολὺ γὰρ ἦν πιθανώτερον ἐν τῷ ἦρι τοὺς τοιούτους ἄρχεσθαι μᾶλλον ἢ κατὰ τὸ θέρος. οἱ γὰρ ἐπιτήδειοι πάθεσιν ἁλίσκεσθαί τισιν ἑτοιμότερον τῶν ἀνεπιτηδείων αὐτοῖς περιπίπτουσιν. ἔοικεν οὖν, ὥσπερ καὶ ἄλλα τινὰ κατὰ τῶν Ἐπιδημιῶν τὰ βιβλία ταυτὶ τὴν τάξιν ὑπηλλαγμένην ἔχει, τοῦ 〈μετα〉 γράψαντος αὐτὰ πρώτου σφαλέντος, εἶτα φυλαχθείσης τῆς ἁμαρτίας, οὕτως καὶ ταύτῃ τῇ ῥήσει συμβεβηκέναι καὶ εἶναι τὸ συνεχὲς τῇ λέξει τοιόνδε· “ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι πολλοῖσιν ἐβεβαίωσε τότε, οἷσιν ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδε ς”, εἶτ’ ἐφεξῆς· ἔστι δ ’ οἷσιν ἤρξατο πρῶτον τότ ε. καὶ μετὰ ταῦτα πάλιν ἐφεξῆς· Ἀπέθανον δὲ πολλοὶ καὶ πλεῖστοι τούτω ν . [16]

17a 64 Τῶν φθινωδῶν δηλονότι. τοῦτο γὰρ ἀκοῦσαι χρὴ κατὰ τὸν εἰρημένον τρόπον τῆς ῥήσεως ὅλης γεγραμμένης. [“ἀπέθανον δ’ ὀξυτέρως νοσήσαντες ἢ ὡς εἴθισται.”] καὶ γὰρ αὖ καὶ 〈τὰ〉 μετὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτο πάλιν ἐφεξῆς εἰρημένα πάντα φθινωδῶν ἐστι κοινά. μαθήσῃ δὲ προσέχων τὸν νοῦν ταῖς ῥήσεσιν, ὧν πρῶτον ἄρξομαι τῆς ἐφεξῆς γεγραμμένης. Ἀπέθνῃσκον δ ʼ ὀξυτέρως ἢ ὡς εἴθισται διάγειν τὰ τοιαῦτ α . Τοὺς φθινώδεις φησὶ παρὰ τὸ εἰωθὸς ἀποθανεῖν ὀξύτερον. εἶτʼ αὐτὸς ἐφεξῆς ἐρεῖ τὴν αἰτίαν, ἔνθα φησί· “ἦν δὲ τοῖς πλείστοισιν αὐτῶν 〈τὰ〉 παθήματα τοιάδε· φρικώδεες πυρετοί, συνεχέες, ὀξέες.

17a 65 ” οὐ γὰρ εἰθισμένον τοῦτο συνυπάρχειν ταῖς φθίσεσι φαίνεται τότε γεγενημένον. αἰτία δὲ τοῦ συνελθεῖν εἰς ταὐτὸν ἄμφω, τήν τε φθίσιν καὶ τὸν τοιοῦτον πυρετόν, ἡ τῆς γενομένης καταστάσεως πρὸς τὰ σώματα πάσχοντα σχέσις. ἐλέχθη γάρ μοι καὶ μικρὸν ἔμπροσθεν ἐκείνους ἁλῶναι μάλιστα τοῖς ἀπὸ τῆς κεφαλῆς κατάρροις, [τοῖς] ὅσοι θερμότεροι τὴν κρᾶσιν ἦσαν· οὗτοι γὰρ καὶ μάλιστα ἐπληρώθησαν αὐτὴν ἐν τῇ νοτίῳ καταστάσει. τοῖς αὐτοῖς δὲ τούτοις ἐπὶ πλέον ἐκταθείσης τῆς νεφελώδους διαθέσεως συνέβη σαπῆναι τοὺς ἐν τῷ σώματι χυμούς, κἀντεῦθεν συνέβη κακοήθεια τῶν πυρετῶν. οἷς δʼ ἧττον ἦν ἡ κρᾶσις θερμή, τούτοις οὔθʼ ἡ τῶν χυμῶν σῆψις οὔθʼ ἡ τῆς κεφαλῆς πλήρωσις ἐγένετο, πλὴν ὀλίγοις τισὶν αὐτῶν ἐπὶ τῷ προήκοντι χρόνῳ. ὃ γὰρ ἐν ὀλίγῳ χρόνῳ πάσχουσιν αἱ παθεῖν ἐπιτήδειοι φύσεις, τοῦτʼ ἐν πλείονι ταῖς ἄλλαις συμβαίνει. καὶ οὐδὲν ἦν θαυμαστὸν ἐπὶ νοτίῳ τῇ πρόσθεν καταστάσει τὸ θέρος οὐ νότιον μόνον, ἀλλὰ καὶ νεφελῶδες γενόμενον ἐργάσα σθαί τινα σῆψιν χυμῶν, οὐ μόνον ἐν τοῖς θερμοτέροις, ἀλλὰ καὶ [ἐν] ψυχροτέροις σώμασιν.

17a 66 Ὡς τά γε ἄλλα καὶ μακρότερα καὶ ἐν πυρετοῖσιν ἐόντα εὐφόρως ἤνεγκαν καὶ οὐκ ἀπέθνῃσκο ν , περὶ ὧν γεγράψετα ι . Ἄλλ α, φησί, νοσήματα χωρὶς τῶν φθινωδῶν, ὑπὲρ ὧν ὁ λόγος ἦν αὐτῷ, καίτοι μακρότερα γενόμενα καὶ μετὰ πυρετῶ ν , ὅμως εὐφόρως ἠνέχθ η. καὶ εἴρηται ἡ αἰτία μικρὸν ἔμπροσθεν ὑφʼ ἡμῶν, ὅτι τούτοις ἧττον κακοήθης ὁ χυμὸς ἐκ τῆς σήψεως ἐγένετο. Μοῦνον γὰρ καὶ μέγιστον τῶν τότε γενομένων νοσημάτων τοὺς πολλοὺς τὸ φθινῶδες ἔκτεινε ν . Εἴρηται τούτου μικρὸν ἔμπροσθεν ἡ αἰτία, τὴν κρᾶσιν τοῦ σώματος ἡμῶν αἰτιασαμένων, διʼ ἧς τοῖς φθινώδεσιν ἑάλωσαν νοσήμασι καὶ τοῖς κακοήθεσι πυρετοῖς, ὑπὲρ ὧν ἐφεξῆς ἐρεῖ.

17a 67 Ἦν δὲ τοῖς πλείστοισιν αὐτῶν τὰ παθήματα 〈τοιάδε 〉 · φρικώδεες πυρετο ί , συνεχέε c , ὀξέε c , τὸ μὲν ὅλον οὐ διαλείποντε c · ὁ δὲ τρόπος ἡμιτριταῖο c · [ τὴ ν ] μίαν κουφότερο ι , τῇ δ ʼ ἑτέρῃ ἐπιπαροξυνόμενο ι , καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντε c . Τοῖς πλείστοις τῶν φθινωδῶν, ὑπὲρ ὧν ἐποιεῖτο 〈τὸν〉 λόγον, 〈τὰ〉 παθήματα γενέσθαι φησίν, ἃ κατέλεξεν αὐτὸς ἐφεξῆς. καλοῦσι δὲ παθήματα πάντες οἱ Ἕλληνε c, ὅσα παρὰ φύσιν ἐν τοῖς σώμασιν ἡμῶν γίνεται. μέμνηται δὲ πρῶτον μὲν αὐτῶν τοῦ 〈φρίττειν, εἴ γε〉 ” φρικώδεε c, φησίν, ἦσαν οἱ πυρετοί”· σημαίνει δὲ τοῦτʼ αὐ τὸ τὸ μέχρι πλείστου τῆς ἀναβάσεώς τε καὶ ἐπιδόσεως καλουμένης τοῦ παροξυσμοῦ τὰς φρίκας γενέσθαι τοῖς νοσοῦσιν.

17a 68 οὐ γὰρ δὴ τούς γε κατὰ τὴν ἀρχὴν τῆς ἐπισημασίας φρικώδεις γενομένους οὕτως ὠνόμασεν, ἀλλʼ ἐφʼ ὧν ἐπὶ πλεῖστον ὅλου τοῦ παροξυσμοῦ τὸ τῆς φρίκης ἐκτέταται σύμπτωμα. καὶ γίνεται διττῶς, ἐνίοτε μὲν ἀναδιπλώσεις ποιούσης τῆς ἐπιτάσεως, ἐνίοτε δʼ αὐτὸ τοῦτο μόνον, ἀνώμαλον ἀνάβασιν. ἡ διαφορὰ δέ ἐστιν ἐν τῷ ποσῷ τοῦ χρόνου. βραχέσι μὲν γὰρ πάνυ διαλείμμασι διοριζομένων ἀπʼ ἀλλήλων τῶν φρικωδῶν κινήσεων, ἀνώμαλός τε καὶ φρικώδης ἀνάβασις λέγεται· μειζόνων δὲ τῶν διαλειμμάτων ὄντων ἀναδίπλωσις γίνεταί τε καὶ ὀνομάζεται τὸ τοιοῦτον σύμπτωμα. καὶ γίνεται μάλιστα αὕτη κατὰ τοὺς ἡμιτριταίους ὀνομαζομένους πυρετοὺς δὶς καὶ τρὶς [ἐστὶν] ὡς τὸ πολὺ καὶ τετράκις ἔστιν 〈ὅτε〉 . δέδεικται δὲ [τοῦτο] ἡμῖν ἐν τοῖς Περὶ 〈διαφορᾶς〉 πυρετῶν λόγ[ισμ]οις ὁ ἡμιτριταῖος ἐπʼ ἀνωμάλῳ συνιστάμενος χυμῷ τὸ μέν τι πικρόχολον δριμύ, τὸ δέ τι φλεγματῶδες σηπόμενον ἔχοντι.

17a 69 τοιούτους οὖν τότε συνεδρεῦσαί φησι τοὺς φρικώδεις πυρετοὺς διὰ τὴν γενομένην κατάστασιν, ὡς προείρηταί μοι. συνεχεῖς δʼ αὐτοὺς ὠνόμασεν, ἐνδεικνύμενος τὸ μὴ λήγειν εἰς ἀπυρεξίαν, ὃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὴ καὶ αὐτὸς ἐξηγούμενος ἐρεῖ· τὸ μὲν ὅλον οὐ διαλείποντε ς . διαλείποντας γὰρ ἐκείνους ὀνομάζειν 〈εἴωθεν〉 ἰδίως πυρετούς, ὅσοι μετὰ τὴν ἀκμὴν ἀπυρεξίαν τινὰ φέρουσιν· ὅσοι δ’ αἰσθητὴν μὲν ποιοῦνται παρακμήν, ἀπυρεξίαν δὲ οὐδεμίαν ἔχουσιν, ὀξεῖς καὶ συνεχεῖς καλεῖ, τὴν μὲν ὅλην περίοδον ἔχοντας ὀκτὼ καὶ τεσσαράκοντα ὡρῶν τοὐπίπαν, ὅσασπερ καὶ ὁ ἡμιτριταῖο ς, ἀλλ’ οὔτ’ εἰς ἀπυρεξίαν λήγοντας ἔν τε τῇ ἑτέρᾳ τῶν ἡμερῶν τῇ κουφοτέρᾳ φέροντας πάλιν ἕτερον παροξυσμόν, μικρότερον μὲν θατέρου τοῦ τῆς ὅλης περιόδου οὐδὲ τὰς ἀναδιπλώσεις ἔχοντα, δυσεκθέρμαντον δὲ καὶ μόλις ἐπὶ τὴν ἀκμὴν ἀνιόντα. ἴδιον δ’ αὐτοῦ καὶ τὸ τὰς ἐφεξῆς τῇ πρώτῃ περιόδους οὔτε ἀλλήλαις ἴσας 〈οὔτε〉 τῇ πρώτῃ γίνεσθαι κατὰ τὴν ὀξύτητα, παραυξάνεσθαι δὲ ἀεὶ καὶ σφοδρύνεσθαι μέχρι τῆς ὅλου τοῦ νοσήματος ἀκμῆς. Ἱδρῶτες αἰε ί , οὐ δ ι ’ ὅλου · ψῦξις ἀκρέων πολλὴ καὶ μόγις ἀναθερμαινόμεν α . [15]

17a 70 Ὅτι ταῦτα τὰ συμπτώματα κακοήθων ἐστὶ πυρετῶν, ἐν τῷ Προγνωστικῷ μεμαθήκαμεν. Κοιλίαι ταραχώδεες χολώδεσι ν , ὀλίγοισι ν , ἀκρήτοις ι , λεπτοῖς ι , δακνώδες ι · πυκνὰ ἀνίσταντ ο . Ἀκρήτους ἐκκρίσεις εἴωθεν ὀνομάζειν τὰς ἀκριβῶς χολώδεις, ὅταν 〈δὲ〉 μεθ’ ὑγρότητος ὑδατώδους μιχθῇ καὶ ἐκκενῶται, τὸν τοιοῦτον χυμὸν οὐκέτι ἄκρητον ὀνομάζει. ἐμάθομεν δὲ καὶ αὐτὸ τοῦτο τὸ περὶ τῶν ἀκράτων ἐκκρίσεων, ὧν εἶπε 〈τὴν〉 κακοήθειαν, ἐν τῷ Προγνωστικῷ καὶ περὶ τῶν λεπτῶν τὴν σύστασιν χυμῶν, ὅτι πάντες ἄπεπτοι καὶ δεόμενοι ῥωμαλέας φύσεώς 〈εἰσιν〉 εἰς τὸ πεφθῆναι. [10]

17a 71 δακνώδεις δ’ εἰκότως ἦσαν, εἴπερ γε καὶ χολώδεις καὶ ἄκρατο ι. τούτῳ δ’ αὖ πάλιν εἵπετο τῷ δακνῶδες εἶναι τὸ συνεχῶς ἐξανίστασθα ι, ὥστε καὶ κατὰ τοῦτο τὸ σύμπτωμα κάμνειν τῶν νοσούντων τὴν δύναμιν. Οὖρα 〈ἢ〉 λεπτὰ καὶ ἄχροα καὶ ἄπεπτα καὶ ὀλίγα ἢ πάχος ἔχοντα καὶ σμικρὴν ὑπόστασι ν , οὐ καλῶς καθιστάμεν α , ἀλ λ ’ ὠμῇ τινι καὶ ἀκαίρῳ ὑποστάσε ι . Καὶ περὶ τῶν οὔρων ἐμάθομεν, ὅτι τὰ λεπτὰ καὶ ἄχροα καὶ [ὀλίγα ἢ] ἄπεπτα καὶ [τὰ] ὀλίγα μοχθηρά, καθάπερ καὶ τὰ παχέα μέν, ὑπόστασιν δ’ οὐδ’ ὅλως ἢ πάνυ σμικρὰν ἔχοντ α. καὶ τοῦτο αὐτοῖς συμβαίνει διὰ τὸ μὴ καλῶς καθίστασθα ι. τοῦτο δ’ 〈ἐν〉 αὐτοῖς πάλιν ἐκείνοις γίνεται τοῖς πυρετοῖς, ἐν οἷς θερμασία πολλὴ καὶ φλογώδης τῶν ὠμῶν χυμῶν καὶ παχέων ἐργάζεταί τινα ζέσιν. [10]

17a 72 εἰκότως οὖν 〈 ὑπόστασις 〉 ἐπ’ αὐτῶν ἢ οὐδ’ ὅλως γίνεται, ἢ καὶ 〈πάνυ σμικρ ά, καὶ〉 αὕτη, καθάπερ αὐτὸς εἶπεν, ὠμὴ καὶ ἄπεπτος. λέλεκται δ’ αὐτῷ περὶ τῶν μοχθηρῶν ὑποστάσεων ἐν τῷ Προγνωστικῷ. Ἔβησσον δὲ σμικρ ά , πυκν ά , πέπον α , κα τ ’ ὀλίγα μόγις ἀνάγοντε ς · οἷσι δὲ τὰ βιαιότατα συμπίπτο ι , οὐ δ ’ ἐ π ’ ὀλίγον πεπασμένα ἦ ν , ἀλλὰ διετέλεον ὠμὰ πτύοντε ς . Ταῖς μὲν κακοηθεστάταις φθίσεσι καὶ αἷς ἐγγύς ἐστιν ὁ θάνατος, οὐ δ ’ ἐ π ’ ὀλίγον πέττεται τὰ πτυόμεν α. ταῖς δ’ ἄλλαις, ὅσαι μέτριαί τε καὶ εἰς πλείονα χρόνον ἐκπίπτουσι, δι’ αὐτὸ τοῦτο πέττεται καλῶς ἡ περὶ τὸν πνεύμονα περιουσία τῶν χυμῶν καὶ ἀποπτύεται ῥᾳδίως. ἀλλὰ τοῖς τότε γεγενημένοις φθινώδεσιν οὐδὲν τούτων ὑπῆρχεν. ἤτοι γὰρ παντάπασιν ἄπεπτον ἔπτυον ἢ πεπεμμένον μέν, μικρὸν δὲ καὶ κατὰ βραχὺ μόγις ἀναφερόμενον. [10]

17a 73 εἴρηκε δὲ καὶ περὶ τῆς τοιαύτης πτύσεως ἐν τῷ Προγνωστικῷ. Φάρυγγες δὲ τοῖσι πλείστοισι τούτων ἐξ ἀρχῆς καὶ διὰ τέλεος ἐπώδυνοι · ἔχοντες ἔρευθος μετὰ φλεγμονῆ ς · ῥεύματα σμικρ ά , λεπτ ά , δριμέα · ταχὺ τηκόμενοι καὶ κακούμενο ι . Τὰ συμπτώματα προειπών, ὅσα τοῖς τότε φθινώδεσιν ἐφαίνετο περὶ τὴν φάρυγγα, τὴν αἰτίαν αὐτὸς προσέθηκεν ἐν τῷ φάναι ῥεύματα σμικρ ά , 〈λεπτ ά ,〉 δριμέ α. διὰ γὰρ τὴν τῶν ῥευμάτων κακοήθειαν ἀπὸ τῆς κεφαλῆς δηλονότι καταφερομένων αἱ φάρυγγες ἐπώδυνοι μὲν ἦσαν, τῷ δάκνεσθαι δὲ πρὸς αὐτῶν ἔρευθος καὶ φλεγμονὴν ἔσχο ν, ὅτι καὶ αὐτὸ τὸ ῥεῦμα θερμὸν ἦν. οὐδὲν οὖν θαυμαστόν, εἰ θᾶσσον τῶν ἄλλων φθινωδῶν οἱ οὕτως ἔχοντες εἰς ἐσχάτην ἰσχνότητα παρεγένοντο. Ἀπόσιτοι πάντων γευμάτων διὰ τέλεο ς . [10]

17a 74

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὐχὶ τοὺς ἀνορέκτους ἀσίτους ὀνομάζουσιν οἱ Ἕλληνε c, 〈ἀλλὰ〉 τοὺς μὴ προσενηνεγμένους σιτία, τοὺς δ’ ἀπεστραμμένους 〈τοῦ〉 προσίεσθαι καλοῦσιν ἀποσίτου c. πρόδηλον δ’ ὅτι καὶ τουτὶ τὸ τῆς ἀνορεξίας σύμπτωμα τοῖς φθινώδεσιν ἐγένετο, τοῦ τὴν φάρυγγα καὶ τὸν πνεύμονα κακοῦντος ῥεύματος μέρους τινὸς εἰς γαστέρα καταρρέοντος. Ἄδιψο ι . Οὐ κατὰ τὴν κακοήθειαν τῶν ῥευμάτων, ἅπερ αὐτὸς ὠνόμασε “δριμέα”, τουτὶ τὸ σύμπτωμα τοῖς φθινώδεσι συνέπεσεν. διό μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης ἐπισημαινόμενος αὐτῶν τὸ παράλογον αὐτὸς προσγράψαι τὸ ἄδιψο ι. [10]

17a 75 κακοη θείας γάρ ἐστι μεγίστης σημεῖον, ὅταν ἤτοι θερμοῦ καὶ διακαοῦς ὄντος τοῦ πυρετοῦ μὴ διψῶσιν ἢ ῥεύματος εἰς γαστέρα καταφερομένου δριμέος. καὶ δηλοῦται πρὸς τοῦ συμπτώματος ἡ αἰσθητικὴ τοῦ μορίου δύναμις ἀπολωλέναι καὶ νενεκρῶσθαι, εἴ γε τῆς κατὰ 〈τὸ〉 μέρος διαθέσεως οὐκ αἰσθάνεται. Καὶ παράληροι πολλοὶ περὶ θάνατο ν . Οὐδὲ τοῦτο τοῖς ἄλλοις φθινώδεσιν εἴωθε συμπίπτειν, ἀλλὰ διὰ τὴν κακοήθειαν τῶν τότε γενομένων πυρετῶν ἠκολούθησε τοῖς ἐν τῇ προκειμένῃ καταστάσει νοσήμασιν. Κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον πυρετοὶ πολλοὶ ξυνεχέες οὐ βιαίω c , μακρὰ δὲ νοσέουσιν οὐδὲ περὶ τὰ ἄλλα [ · ἀλλ ὰ ] δυσφόρως διάγουσιν ἐγένοντ ο . [10]

17a 76 Εἰρήκει δὲ καὶ πρόσθεν, ὡς τὸ φθινῶδες μόνον ὀλέθριον ἐγένετο, καὶ ἡμεῖς τὴν αἰτίαν προσπαρεθήκαμεν. ἀκόλουθα τοίνυν ἐστὶν ἐκείνοις τά τε κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένα καὶ τὰ τούτων ἐφεξῆς, ἐν οἷς φησιν· Κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι πάνυ εὐφόρως καὶ τἄλλα ἃ περὶ τῶν οὔρων εἶπεν. ὥσπερ γὰρ τὰ πρόσθεν, ὅσα περὶ τῶν φθινωδῶν κατέλεξεν, ἦν κακοήθη, οὕτω καὶ τὰ νῦν λεγόμενα πάνυ ἐστὶ μέτρια. Βηχώδεες οὐ λίη ν . [11]

17a 77 οὐδὲ τὰ βησσόμενα δυσκόλω c · [ ὑπήκοντα ἀνὴ ρ ] οὐδὲ ἀπόσιτο ι , ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετ ο . Οἱ πλεῖστοι τῶν ἐξηγησαμένων τὸ βιβλίον ἐπὶ τοὺς φθινώδεις αὐτὸν ἐν τῇδε τῇ ῥήσει μεταβεβηκέναι φασίν. ἐγὼ δὲ ἡγοῦμαι ἔτι περὶ τῶν ἄλλων πυρετῶν ὧν διηγεῖται καὶ ταῦτα λέγεσθαι. πῶς γὰρ ἂν εἰρηκὼς ἔμπροσθεν ἐπὶ τῶν φθινωδῶν, ὡς “ἀπόσιτοι πάντων γευμάτων διὰ τέλεος” ἦσαν, ἐνταυθὶ νῦν ἔλεγεν· οὐ δ ’ ἀπόσιτο ι , ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετ ο; τί δή ποτ’ οὖν ἔγραψεν ἐν τῷδε τῷ λόγῳ βηχώδεες οὐ λίη ν; (τοῦτο γάρ ἐστι τὸ τὴν φαντασίαν παρασχὸν τοῦ λέγεσθαι ταῦτα περὶ τῶν φθινωδῶν αὐτῶν.) ἐγὼ δὲ νομίζω περὶ τῶν ἄλλων ἔτι πυρετῶν τοῦ λόγου γιγνομένου προσγεγράφθαι. γίνονται γὰρ βηχώδεις συνεισβαλλούσης τῆς βηχὸς αὐτοῖς λόγῳ συμπτώματος, οὐ μὴν φθινώδεις γε πάντως εἰσὶν οὗτοι. θαυμαστὸν οὖν οὐδὲν ἅμα πυρέσσειν ἄρξασθαί τινας τῶν Θασίων ἐπὶ τῇ προγεγραμμένῃ καταστάσει καὶ πληρωθεί σης αὐτοῖς τότε τῆς κεφαλῆς, συνελθόντος τοῦ πυρετοῦ τῇ καταστάσει, βηχώδεις γενέσθαι. [15]

17a 78 ἀλλ’ οὔτε λίαν αὐτοῖς ἠνώχλει τὸ σύμπτωμα, οὔτε τὰ βησσόμενα δυσχέρειαν εἶχεν, οὐ γὰρ ἦσαν οὗτοι φθινώδεις. Τὸ μὲν ὅλον ὑπενόσεον οἱ φθίνοντες οὐ τὸν φθινώδεα τρόπον *** Αὕτη πᾶσα ἡ ῥῆσις ἐπαγομένη τῇ προειρημένῃ τὴν φαντασίαν βεβαιοτέραν εἰργάσατο τοῖς πλείστοις τῶν ἐξηγητῶν [ὑπὲρ] τοῦ καὶ τὴν ἔμπροσθεν ῥῆσιν ὑπὲρ τῶν φθινωδῶν αὐτῶν λελέχθαι. ἀλλ’ ὅτι μὲν ἐκείνην ἀδύνατόν ἐστιν ἐπ’ αὐτῶν εἰρῆσθαι, δέδεικταί μοι δι’ ὧν ἀπεδείκνυον ἀποσίτους μὲν ὠνομάσθαι πρὸς αὐτοῦ τοὺς φθινώδεις, οὐκ ἀποσίτους δὲ τούτους. [10]

17a 79 ἡ δ’ ἐφεξῆς ῥῆσις ἡ νῦν προκειμένη κατὰ διττὸν ἂν τρόπον ἐξηγήσεως τύχοι, καθ’ ἕνα μὲν ὧδέ πως ἡμῶν λεγόντων· ἀναλήψομαι δὲ τὴν προγεγραμμένην ῥῆσιν, εἶτα συνάψω τῇ νῦν, παρενθεὶς αὐτῇ μίαν συλλαβὴν ἕνεκα σαφηνείας· “βηχώδεες οὐ λίην· οὐδὲ τὰ βησσόμενα δυσκόλως. οὐδ’ ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. τὸ μὲν γὰρ ὅλον ὑπενόσεον οἱ φθίνοντες οὐ τὸν φθινώδεα τρόπο ν.” ἐνδέχεται δ’ αὐτὸν οὕτως εἰρηκέναι περὶ τῶν ἄλλων πυρεττόντων, γράφοντα κοινὸν σύμπτωμα τῶν νοσούντων ἐχόντων τὰ βηχώδη συμπτώματα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὴ μέντοι καὶ αὐτῶν φθινωδῶν ὄντω ν. ἐπαναλαβεῖν γὰρ αὖθις εἰκός ἐστι τὸν περὶ τῶν φθινωδῶν λόγον εἰς ἀνάμνησιν τοῦ διαφέρειν τοὺς ἀρρώστους τούσδε, περὶ ὧν νῦν διέρχεται, τῶν ἔμπροσθεν, τῶν φθινωδῶν. καὶ γάρ τοι καὶ τὰ συμπτώματα πάλιν εἶπε τὰ αὐτὰ τοῖς ἔμπροσθεν εἰρημένοις. μία μὲν αὕτη παραμυθία τῆς κατὰ τήνδε τὴν ῥῆσιν ἐπαναλήψεως τοῦ περὶ τῶν φθινωδῶν λόγου, ἑτέρα δ’ ἣν ἴσμεν πολλάκις γιγνομέ νην ἐπὶ πολλῶν συγγραμμάτων. [10]

17a 80 ἐνίοτε γάρ, ὑπὲρ ἑνὸς πράγματος διττῶς ἡμῶν γραψάντων, εἶτα τῆς μὲν ἑτέρας γραφῆς κατὰ τὸ ὕφος οὔσης, τῆς δ’ ἑτέρας ἐπὶ θάτερα τῶν μετώπων, ὅπως κρίνωμεν αὐτῶν τὴν ἑτέραν ἐπὶ σχολῆς δοκιμάσαντες, ὁ πρῶτος μεταγράφων τὸ βιβλίον ἀμφότερα ἔγραψεν, εἶτα μὴ προσσχόντων ἡμῶν τοῖς γεγονόσι μηδ’ ἐπανορθωσαμένων τὸ σφάλμα, διαδοθὲν εἰς πολλοὺς τὸ βιβλίον ἀνεπανόρθωτον ἔμεινεν. Ἔκρινε δὲ τουτέω ν , οἷσι τὰ βραχύτατα γίνοιτ ο , περὶ εἰκοστή ν , τοῖσι δὲ πλείστοισι περὶ τεσσαρακοστή ν , πολλοῖσι δὲ περὶ τὰς ὀγδοήκοντ α . ἔστι δ ’ οἷσιν οὐ δ ’ οὕτω c , ἀλλὰ πεπλανημένως τε καὶ ἀκρίτως ἐξέλιπο ν . τούτων δὲ τοῖσι πλείστοισιν οὐ πολὺν διαλείποντες χρόνον ὑπέστρεψαν οἱ πυρετοὶ πάλι ν , ἐκ δὲ τῶν ὑποστροφέων ἐν τῇσιν αὐτῇσι περιόδοισιν ἐκρίνοντο · πολλοῖσι δὲ αὐτῶν ἀνήγαγο ν , ὥστε 〈καὶ〉 ὑπὸ χειμῶνα νοσεῖ ν . Τίνων δή ποτ’ οὖν κριθῆναί φησι τὸ νόσημα περὶ τὴν εἰκοστὴν ἡμέραν; 〈δηλον〉 ὅτι περὶ ὧν ἐποιεῖτο τὸν λόγον, ὡς ἐγώ φημι, τῶν ἄλλων νοσησάντων, οὐχὶ τῶν φθινωδῶν. [17]

17a 81 ὁμολογεῖ δὲ τούτῳ καὶ τὰ ἐφεξῆς ἅπαντα. καὶ γὰρ ἄχρι τῆς ὀγδοηκοστῆς ἡμέρας ἐκταθῆναί φησι τὸ νόσημά τισιν αὐτῶν, ἄλλοις δὲ πεπλανημένως τε καὶ ἀκρίτως ἐκλιπεῖ ν , καὶ τούτων τοῖς πλείστοις ὑποστρέψαι πάλι ν , τοὺς δ ’ ἐκ τῶν ὑποστροφῶν πυρετοὺς ἐν ταῖς αὐταῖς περιόδοις πάλιν κριθῆναι καὶ πολλοῖς αὐτῶν καὶ μέχρι τοῦ χειμῶνος ἐκταθῆναι τὸ νόσημ α. ταῦτα δὲ πάντα τοῖς ἀνωτέρω εἰρημένοις ὁμολογεῖν σαφές ἐστιν ἐν οἷς ἔλεγε· “κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον πυρετοὶ πολλοὶ συνεχέες οὐ βιαίως, μακρὰ δὲ νοσέουσιν οὐδὲ περὶ τὰ ἄλλα δυσφόρως διάγουσιν ἐγένοντο.” ταῦτα μὲν οὖν ὁμολογεῖ τοῖς κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένοις ὑπ’ αὐτοῦ συμπτώμασιν. ὅσα δὲ περὶ τῶν φθινωδῶν εἶπεν, οὐχ ὁμολογεῖ. μάθοις δ’ 〈ἂν〉 ἀναμνησθεὶς βραχέος μορίου τῆς ὑπὲρ αὐτῶν διηγήσεως, ἔνθα φησίν· “ἀπέθνῃσκον δ’ ὀξυτέρως ἢ ὡς εἴθισται τὰ τοιαῦτα διάγειν. [15]

17a 82 ” τοῦτο μὲν γὰρ αὐτῷ περὶ τῶν φθινωδῶν εἴρηται, καί φησιν αὐτοὺς ὀξυτέρως ἀποθανεῖν. περὶ δὲ τῶν ἄλλως νοσησάντων ἐφεξῆς τούτοις ὡδέ πως· ” 〈ὡς〉 τά γε ἄλλα καὶ μακρότερα 〈καὶ〉 ἐν πυρετοῖσιν ἐόντα εὐφόρως ἤνεγκαν καὶ οὐκ ἀπέθνησκον, περὶ ὧν γεγράψεται.” ταῦτ’ οὖν ὁμολογεῖ τοῖς κατὰ τὴν προκειμένην ῥῆσιν τὴν τῶν πυρεξάντων διὰ τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος. ἀλλὰ καὶ 〈διὰ〉 τὸ προειπεῖν μὲν αὐτὸν “περὶ ὧν γεγράψεται”, μηδεμίαν δ’ ἄλλην ἡμᾶς ἔχειν δεῖξαι γραφὴν ὅτι μὴ τὴν νῦν προκειμένην ἐπ’ αὐτοῖς γενομένην, ἀναγκαῖόν ἐστι περὶ τῶν ἄλλως νοσησάντων, οὐ φθινωδῶς ἅπαντα τοῦτον αὐτῷ τὸν λόγον εἰρῆσθαι. Ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει ταύτῃ μόνοισι τοῖσι φθινώδεσι θανατώδεα συνέπεσεν · ἐπεὶ τοῖσί γε ἄλλοισιν 〈εὐφόρως πᾶς ι , καὶ θανατώδεες ἐν τοῖσιν ἄλλοισι〉 πυρετοῖσιν οὐκ ἐγένοντ ο . Ἐσχάτη ῥῆσίς ἐστιν αὕτη τῶν εἰρημένων αὐτῷ περὶ τῆς πρώτης καταστάσεως, οὐδὲν μὲν πλέον διδάσκουσα, ἀνακεφαλαίωσιν δέ τινα ἔχουσα τῶν προειρημένων, ὅπερ εἴωθεν ὁ ἀνὴρ πολλάκις ποιεῖν. [15]

17a 84 (t1) ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΒΙΒΛΙΟΝ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ
Ἐν Θάσῳ πρωὶ τοῦ φθινοπώρου χειμῶνες οὐ κατὰ καιρό ν , ἀλ λ ’ ἐξαίφνη c . Ἐν τῷ πρὸ τούτου βιβλίῳ λέλεκται περὶ τῆς τῶν ὡρῶν εἰς ἀλλήλας μεταβολῆς, εἴρηται δὲ καὶ ἡ κατὰ φύσιν ἑκάστης κρᾶσις αἵ τε προθεσμίαι τῆς ἀρχῆς αὐτῶν καὶ τῆς τελευτῆς. ὡς ἂν οὖν ἐκείνων μεμνημένων ἡμῶν, ὅσα τῶν νῦν λεγομένων ἐξηγήσεως δεῖται προσθήσω, στοχαζόμενος οὔτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μόνων τῶν ἐσχάτως ἀμαθῶν οὔτε μόνων τῶν ἱκανὴν ἐχόντων τὴν παρασκευήν· πρὸς ἅπαντας γὰρ ὁ τοιοῦτος λόγος ἕξει μετρίως. [5]

17a 85 τῶν δ’ ἄλλων ὁ μὲν τοῖς ἐσχάτως ἀμαθέσιν οἰκεῖος ἀνιάσει τοὺς ἐν ἕξει διὰ τὸ μῆκος, ὁ δὲ τούτοις ἐπιτήδειος ἀσαφὴς ἔσται τοῖς ἀμαθέσιν. ἀλλ’ οὐδὲ χρὴ τοῖς τοιούτοις ὑπομνήμασιν ἐντυγχάνειν ἀγαπῶντας, ἀλλ’ ἄλλο παρ’ ἄλλου καὶ ἄλλως ἀκούσαντες πλατύτερον πολλάκις ταὐτὰ δυνηθεῖεν 〈ἂν〉 ἄνευ παρακοῆς ἐκμανθάνειν τι χρηστόν. 〈Ἐν Θάσῳ〉 πρωὶ τοῦ φθινοπώρου χειμῶνες οὐ κατὰ καιρό ν , ἀλ λ ’ ἐξαίφνης ἐν βορείοισι καὶ νοτίοισι πολλοῖσιν ὑγροὶ καὶ προεκρηγνύμενο ι . Τὸ φθινόπωρον εἶπον ἄρχεσθαι τῇ ἐπιτολῇ τοῦ ἀρκτούρου γινομένῃ πρὸ τῆς φθινοπωρινῆς ἰσημερίας. [11]

17a 86 τηνι καῦτα οὖν ἔφη γενέσθαι χειμῶνας μεγάλους πρὸ τοῦ δέοντος. τοῦτο γὰρ αὐτῷ τὸ οὐ κατὰ καιρὸν καὶ τὸ προεκρηγνύμενοι σημαίνει. τὸ μὲν οὖν οὐ κατὰ καιρὸν τοῦ προφθάσαι μόνον δηλωτικὸν ὑπάρχει, τὸ δὲ προεκρηγνύμενοι καὶ τοῦ μεθ’ ὑετῶν ἀθρόων αὐτοὺς γενέσθαι. Ταῦτα δὲ ἐγίνετο μέχρι πληιάδων καὶ ὑπὸ πληιάδ α . Ὅτι τῆς πλειάδος ἡ δύσις ὁρίζει τὸ φθινόπωρον, εἴρηται πρόσθεν, ἀλλὰ καὶ ὅτι δύο μῆνές εἰσιν ἀπ’ ἀρκτούρου μέχρι πλειάδος ὅτι τε μία ἐπισημασία κατὰ τὸ περιέχον ἀπ’ ἀρκτούρου γίνεται, δύο δ’ ἀπὸ πλειάδο c, 〈καταδυομένης〉 μία μὲν ὁπότε συνάπτει τῷ φθινοπώρῳ χειμών, ἐπιτελλούσης ἑτέρα δὲ ὁπότε ἔαρ τῷ θέρει. τοῦ δ’ ἀρκτούρου τῆς ἐπιτολῆς μόνης ὧδε μνημονεύειν εἴωθεν Ἱπποκράτη c, ἐπειδὴ κατ’ αὐτὸν ἀρχὴ μὲν γίνεται τοῦ φθινοπώρου, τελευτὴ δὲ τοῦ θέρους. εἴρηται δ’ ἔμπροσθεν ἤδη περί τε τῆς εἰς τὰς τέτταρας ὥρας διαιρέσεως ὅλου τοῦ ἐνιαυτοῦ καὶ περὶ τῆς εἰς ἑπτά, καὶ ὅτι θέρος μὲν ὁρίζουσιν ἐπιτολαὶ πλειάδος 〈καὶ ἀρκτούρου, τὴν δὲ δευτέραν μοῖραν τοῦ δίχα τεμνομένου θέρους ἐπιτολαὶ κυνὸς〉 καὶ ἀρκτούρου καὶ ὥς ἐστιν αὕτη μόριόν τι τῆς εἰς ἑπτὰ διαιρέσεως ὅλου τοῦ ἐνιαυτοῦ, διχῇ μὲν τοῦ θέρους τεμνομένου, τριχῇ δὲ τοῦ χειμῶνος. [15]

17a 87 εἴρηται δὲ καὶ ὡς οὐδὲν διαφέρει πλειάδα λέγειν ἑνικῶς ἢ πληθυντικῶς πλειάδα c. Χειμὼν 〈δὲ〉 βόρειο c . Ἐφεξῆς τῇ πλειάδι χειμῶνος μνημονεύει, σαφῶς ἐνδεικνύμενος ὅρον εἶναι τοῦ φθινοπώρου τὴν πλειάδα. προσέχωμεν οὖν αὐτῷ διηγουμένῳ περὶ τοῦ τότε γενομένου χειμῶνο c. Ὕδατα πολλ ά , λάβρ α , μεγάλ α , χιόνε c · μιξαίθρια τὰ πλεῖστ α . ταῦτα δ ’ ἐγένετο μὲν πάντ α , οὐ λίην δ ’ ἀκαίρως τὰ τῶν ψυχέω ν . [10]

17a 88 ἤδη δὲ με θ ’ ἡλίου τροπὰς χειμερινὰς καὶ ἡνίκα ζέφυρος πνέειν ἄρχετα ι , ὀπισθοχειμῶνες μεγάλο ι , βόρεια πολλ ά , χιὼν καὶ ὕδατα πολλὰ συνεχέω c , οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελο c . ταῦτα δὲ 〈συνέτεινε καὶ οὐκ ἀνίει〉 μέχρι ἰσημερίη c . ἔαρ 〈δὲ〉 ψυχρό ν , βόρειο ν , ὑδατῶδε c , ἐπινέφελο ν . θέρος οὐ λίην καυματῶδες ἐγένετο · ἐτησίαι συνεχῶς ἔπνευσα ν . ταχὺ δὲ περὶ ἀρκτοῦρον ἐν βορείοις πολλὰ πάλιν ὕδατ α . Πολλὰ λέγομεν ὕδατα γίνεσθαι κατά τινα καιρὸν διὰ τὸ τοῦ χρόνου μῆκος, εἰ καὶ μὴ λάβρον ἐν αὐτῷ καταρρήσσοιτο. λέγομεν δὲ πολλ ά, κἂν ἐν ὀλίγῳ χρόνῳ κατέλθῃ λάβρα. δύναται δὲ ταῦτα καὶ μεγάλα καλεῖσθαι, ἀλλ’ ὅταν γ’ ἐφεξῆς ἀλλήλων εἴπῃ τις ὕδατα λάβρα καὶ μεγάλα γεγονέναι, καθάπερ Ἱπποκράτης 〈ἐνταῦθα〉 συνέγραψεν, ἀκουσόμεθα λάβρα μὲν τὰ ἐξαιφνίδια, σφοδρά τε καὶ ὀλιγοχρόνια, μεγάλα δὲ τὰ μήτ’ ἐξαιφνίδια μήτ’ ὀλιγοχρόνια παντάπασιν, ὥσπερ γε μηδὲ πολυχρόνια. [15]

17a 89 σαφηνείας δ’ ἕνεκεν οὐδὲν κωλύσει καὶ μακροτέρᾳ βραχεῖ χρήσασθαι διηγήσει. γιγνέσθω τοίνυν ἐξαίφνης ὑετὸς πάμπολυς ὥραις τρισὶν ἢ τέτταρσιν, εἶτ’ εὐθέως παυέσθω, λάβρον τοῦτον ὀνομάσομεν. ἄλλος δέ τις κατὰ βραχὺ μὲν ἀρξάσθω, κατὰ βραχὺ δ’ αὐξηθήτω καὶ τοῦτο ταθήτω δι’ ὅλης ἡμέρας καὶ νυκτός, εἶτ’ ἀκμάσας πάλιν ἀφαιρεθήτω τὸ πλῆθος κατὰ βραχὺ δι’ ὅλης τῆς ὑστέρας ἡμέρας, εἶτα παυσάσθω, τὸν τοιοῦτον ὑετὸν οὐκ ἐροῦμεν λάβρον, ἀλλὰ μέγα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ν. ὁ τοίνυν χειμών, ὃν διηγεῖται, ποτὲ μὲν λάβρους ἔσχεν ὑετούς, ποτὲ δὲ μεγάλους ἐκ διαλειμμάτων, καθαροῦ δηλονότι γενομένου πολλάκις ἐν τῷ μεταξὺ τοῦ περιέχοντος. τοῦτ’ οὖν ὁμολογεῖ καὶ τοῖς γεγραμμένοις ὑπ’ αὐτοῦ μιξαίθρια τὰ πλεῖστ α. καὶ χιόνας δέ φησι γεγενῆσθαι ἐν τῷ χειμῶνι, μὴ προσθεὶς αὐτὰς πολλὰς ἢ ὀλίγας, ὡς ἂν οὐθέτερον ἱκανῶς ἐσχηκυίας, ἀλλὰ κατὰ τὸ τῆς πόλεως ἔθος μᾶλλον γενομένας. διὸ καὶ προσέθηκεν αὐτὸς οὐ λίην δ ’ ἀκαίρως τὰ τῶν ψυχέω ν.

17a 90 καὶ τἄλλα δὲ τούτων ἐφεξῆς πάντα τὸν χειμῶνα ψυχρὸν καὶ ὑγρὸν γεγονέναι δηλοῖ, κατὰ φύσιν μόνον αὐτὸν γενόμενον τοιοῦτον, μᾶλλον δὲ τοῦ προσήκοντος ὑγρὸν τηνικαῦτα συμβάντα. καὶ μέντοι καὶ τὸ ἔαρ ὑδατῶδες ψυχρόν τε καὶ βόρειον ἔφη γεγονέναι, πρὸς δὲ τούτῳ καὶ ἐπινέφελον, εἶτα τὸ θέρος μέτριόν πως, ἐφ’ ᾧ πάλιν ἐν βορείοις τισὶ περὶ ἀρκτοῦρον ὕδατα γενέσθαι πολλ ά. καὶ μετὰ ταῦτα τὸ κεφάλαιον ὅλης τῆς καταστάσεως ἐρεῖ κατὰ τὴν λέξιν· “γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου”. οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελο c . οὐρανὸν εἴρηκε κατὰ τὸ τῶν ἰδιωτῶν ἔθος τὸν ὑπὲρ ἡμᾶς ἀέρα μέχρι τῆς χώρας τῶν νεφελῶν. ὁ δ’ ὑπὸ τῶν ἀστρονόμων τε καὶ φιλοσόφων οὐρανὸς ὀνομαζόμενος ἀπὸ τῶν κατὰ τὴν σελήνην ἄρχεται τόπων. λαίλαπας δὲ τοὺς ἐξαιφνιδίους καὶ σφοδροὺς ἀνέμους οἱ Ἕλληνες ὀνομάζουσι, καὶ μάλισθ’ ὅταν ὑετὸς ἅμα ἐν αὐτοῖς γίγνηται λάβρο c. Γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείο υ , κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστ α , πρωὶ δὲ τοῦ ἦρος πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπινόσω c .

17a 91 Δέδεικται διὰ τῶν ἔμπροσθεν ἡμῖν, 〈δι〉 ὰ τί εἴωθεν ὁ Ἱπποκράτης τῆς διηγήσεως τῶν γενομένων περὶ τὸν ἀέρα καταστάσεων ἄρχεσθαι κατ’ ἐκεῖνον τὸν χρόνον, ὅταν πρῶτον ἐκτραπῇ τῆς κατὰ φύσιν κράσεως, καὶ οὐκ ἄπο τοῦ λόγου ἐστὶ τοῦτο πράττειν τῷ μέλλοντι συνάψειν τῇ τοῦ περιέχοντος ἀέρος δυσκρασίᾳ τὰς τῶν ἐπιδημησάντων νοσημάτων ἰδέας. ἐπεὶ τοίνυν ἀπὸ φθινοπώρου τὴν ἀρχὴν ἐποιήσατο, δηλονότι τὸ πρὸ αὐτοῦ θέρος ἐστὶ καὶ ἕπεται τὸ πρὸ αὐτοῦ ** . καὶ τοίνυν ὅσον ἐπὶ ταῖς ὥραις κατὰ φύσιν ἔχοντα τὰ σώματα παραλαβὸν τὸ φθινόπωρον ὑγρὸν καὶ ψυχρὸν γενόμενον οὐδὲν εἰργάσατο φαῦλον, ἀλλ’ ἴσως ἔνια σώματα καὶ προσωφέλησεν, ὅσα θερμότερα καὶ ξηρότερα ταῖς κράσεσιν ὄντα κατὰ τὸ θέρος εἴωθεν εἰς ἀμετρίαν ἀφικνεῖσθαι.

17a 92 τούτων οὖν ὥσπερ ἴαμά τι τὸ φθινόπωρον ἐγένετο, ψυχρὰν καὶ ὑγρὰν σχὸν τὴν κατάστασιν. οὐ μὴν οὐδὲ κατὰ τὸν χειμῶνα νόσος ἐπιδήμιος ἐγεννήθη διηγήσεως ἀξία. τοιοῦτον γὰρ ἐπισημαίνει λέγων· κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστ α. καὶ γὰρ ὁ χειμὼν ὑγρότερος μὲν ἐγένετο, ψυχρότερος δ’ οὐκ ἐπὶ πλέον ἢ κατὰ φύσιν αὐτῷ συμβέβηκεν εἶναι ψυχρῷ. διὸ δὴ καὶ διηγούμενος ὑπὲρ τῆς ἐν αὐτῷ καταστάσεως εἶπεν· “οὐ λίην δὲ ἀκαίρως τὰ τῶν ψυχέων”. πρῶτον δὲ εὔλογον ἦν ἄρξασθαι νόσους ἐκ τῆς τοῦ περιέχοντος ἐπὶ πλέον ἐξαλλαγῆς, ἡνίκα φησὶν αὐτός· “ἔαρ δὲ ψυχρόν, βόρειον, ὑδατῶδες, ἐπινέφελον”. ἔαρ γὰρ εὔκρατον εἶναι χρή, οὐ ψυχρόν 〈οὐδὲ βόρειον〉 ὥσπερ οὐδ’ ἐπινέφελον οὐδ’ ὑδατῶδες. ὅτι δ’ ἀπὸ τῆς ἰσημερίας ἄρχεται τῆς μετὰ τὸν χειμῶνα τὸ ἔαρ ἡμῖν ἐρρέθη κατὰ τὸ πρόσθεν ὑπόμνημα, καὶ αὐτὸς δὲ σαφῶς ὁ Ἱπποκράτης ἐνεδείξατο κατὰ τὴν προκειμένην διήγησιν· εἰπὼν γὰρ τὸ ὀπισθοχειμῶνες κἄπειτα προσθεὶς “ταῦτα δὲ συνέτεινε καὶ οὐκ ἀνίει μέχρι ἰσημερίης”, ἐφεξῆς προσέγραψεν· “ἔαρ δὲ ψυχρόν, βόρειον, ὑδατῶδες, ἐπινέφελον”.

17a 93 ἴδωμεν οὖν, ὁποῖα τῇ καταστάσει τοῦ περιέχοντος ἠκολούθησε νοσήματα. Ἤρξαντο μὲν οὖν τὸ πρῶτον ὀφθαλμίαι ῥοώδεε c , ὀδυνώδεε c , ὑγρα ί , ἄπεπτοι · λημία σμικρὰ καὶ δυσκόλως πολλοῖσιν ἐκρηγνύμενα · τοῖσι πλείστοισιν ὑπέστρεφον · ἀπέλιπον ὀψὲ πρὸς τὸ φθινόπωρο ν . Καὶ διὰ τί μὲν ἐν ἦρι τῶν ἐπιδημίων νοσημάτων ἡ γένεσις ἤρξατο, προείρηται· διὰ τί δ’ ὀφθαλμίαι μᾶλλον τῶν ἄλλων παθῶν ἐγένοντο, μάθοις ἄν, εἰ τῆς ἐν αὐτῷ καταστάσεως ἀναμνησθείης. ψυχρὸν γὰρ ἔφη καὶ βόρειον καὶ ὑδατῶδες καὶ ἐπινέφελον γεγονέναι αὐτό. εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν οὖν ὑπὸ τῶν 〈ψυχρῶν〉 ἀνέμων μόνον ἐπλήγησαν οἱ ὀφθαλμοί, χωρὶς ῥεύματος ἂν αἱ ὀφθαλμίαι συνέπεσον αὐτοῖς.

17a 94 ἐπεὶ δὲ μεθ' ὑγρότητος πολλῆς ἐγένετο τὰ βόρεια πνεύματα, εἰκότως ῥοώδεις ἔφη τὰς ὀφθαλμίας γεγονέναι, τουτέστιν ὑγρά c, ὡς ἀπὸ καταστάσεως ὑγρᾶς γεννηθείσας. ὀδυνώδεις δ' ἑκατέρως ἦσαν καὶ μετὰ ῥεύματος συνιστάμεναι καὶ χωρὶς τούτου τῷ διαμένειν τὴν ψῦξιν· ἱκανὴ γὰρ καὶ αὕτη τοὺς ὀφθαλμοὺς ὀδυνώδεις ἐργάσασθαι. νυνὶ δ' εἰκὸς αὐξηθῆναι τὰς ὀδύνας, τῆς ψύξεως τῶν ὀφθαλμῶν ἅμα τῷ κατ' αὐτοὺς ῥεύματι συνελθούσης. ἄπεπτοι δ' ἐγίνοντο καὶ χρόνῳ πολλῷ παρέμενον διά τε τὴν ὑγρότητα καὶ τὴν ψύξιν. τὸ γάρ τοι πέττεσθαι τοῖς ῥεύμασι γίνεται κρατουμένοις ὑπὸ τῆς ἐμφύτου θερμασίας. κρατεῖται δὲ ῥᾷον, ὅταν ὀλίγον τε ᾖ τὸ ὑγρὸν καὶ μὴ πάνυ ψυχρόν, ὅταν δὲ καὶ πολὺ καὶ ψυχρόν, δυσκόλως πέττεται. καὶ μὲν δὴ καὶ ἡ κατὰ φύσιν ἐν τοῖς ζῴοις θερμότης ἰσχυρὰ μὲν οὖσα θᾶττον ἐκπέττει τὰς ἐν αὐτοῖς περιττὰς ὑγρότητας· εἰ δ' ἀσθενής, μόγις ἐν χρόνῳ πλείονι περιγίνεται καὶ κρατεῖν δύναται τῶν ὑγρῶν. διὸ καὶ εἴ τινες ἐθεραπεύθησαν, ὑπέστρεφον αὖθις.

17a 95 ἠσθενηκότας γὰρ ἐν ταῖς ὀφθαλμίαις τοὺς ὀφθαλμοὺς τὸ περιέχον ψυχρὸν καὶ βόρειον 〈καὶ〉 ὑδατῶδες καὶ ἐπινέφελον γενόμενον εἰκότως ἔβλαπτεν. εἴωθε δὲ ταῖς τοιαύταις ὀφθαλμίαις λημία γίνεσθαι μικρ ά, μόγις ἐκπίπτοντα, 〈 μικρὰ μὲν διὰ τὴν δυσπεψίαν τῆς ἐν τοῖς ὀφθαλμοῖς ὑγρότητος, μόγις δ' ἐκπίπτοντα〉 διὰ τὴν πύκνωσιν τῶν χιτώνων, ἣν ἐκ τῆς τοῦ περιέχοντος ψυχρότητος ἔσχον. 〈ἐν〉 ὅλῳ μὲν οὖν τῷ ἦρι χείρους ἀναγκαῖον ἦν 〈τοῖς〉 ἐν Θάσῳ γενέσθαι τοὺς ὀφθαλμούς, ἐν δὲ τῷ θέρει τὴν γενομένην ἐν αὐτοῖς σκιρρώδη διάθεσιν εἰς πέψιν ἀχθῆναι κατὰ βραχύ. τὰ γὰρ ἐν χρόνῳ κατασκευασθέντα νοσήματα, καὶ μάλιστα ὑπὸ ψυχρῶν τε καὶ ὑγρῶν 〈αἰτίων〉, οὐκ ἐνδέχεται λυθῆναι ταχέως. εἰκότως οὖν ἔφη τελέως παύσασθαι τὰ κατὰ τοὺς ὀφθαλμοὺς πάθη κατὰ τὸ φθινόπωρο ν. Κατὰ 〈δὲ〉 θέρος ἤδη καὶ φθινόπωρον καὶ δυσεντεριώδεες καὶ τεινεσμοὶ καὶ λειεντεριώδεες καὶ διάρροιαι χολώδεες λεπτοῖσι πολλοῖσι ν , ὠμοῖσι καὶ δακνώδες ι , ἔστι δ ' οἷσι καὶ ὑδατώδεε c .

17a 96 πολλοῖσι δὲ καὶ περίρροιαι μετὰ πόνου χολώδεε c , 〈ὑδατώδεε c ,〉 [κα ὶ ] ξυσματώδεε c , πυώδεες καὶ στραγγουριώδεε c . Οὐ ταῦτα μόνον ἐγένετο 〈τότε τὰ〉 νοσήματά τε καὶ συμπτώματα τοῖς Θασίοι c, ἀλλὰ καὶ ἄλλα τινά, περὶ ὧν ἐφεξῆς ἐρεῖ. ποικιλώτατα γὰρ ἐνόσησαν, ἑτερογενέσι περιπεσόντες νοσήμασιν. τὸν κοινὸν δ' οὖν λόγον, ὃς καὶ πρὸς τὸ μὴ νοσῆσαι πάντας τοὺς ἐν τοιαύτῃ καταστάσει γενομένους ἐστὶ χρήσιμος, ἐρῶ πρότερον, εἶθ' ἑξῆς ἐπὶ τὰ κατὰ μέρος ἀφίξομαι νοσήματα, σκοπεῖσθαι δέον ἐν πάσαις ταῖς καταστάσεσι τὴν ἡλικίαν καὶ τὴν φύσιν ἑκάστου τῶν ἀνθρώπων ὅπως ἔχει σχέσεως πρὸς τὴν κατάστασιν. ἤτοι γὰρ εὐάλωτον ἢ δυσάλωτον ἢ μετρίως ἔχοντα πρὸς αὐτὴν εὑρήσεις αὐτόν. εἶθ' ἑξῆς ἁρμόσεις τά τ' ἐπιτηδεύματα καὶ σύμπασαν τὴν ὑγιεινὴν δίαιταν ὑπεναντίον τῇ καταστάσει. τὸ μὲν οὖν εὐάλωτόν τε καὶ δυσάλωτον εἶναι τὸ σῶμα τοῖς ἔξωθεν αἰτίοις εἴρηται πολλάκις ἡμῖν διά τε τὴν ὁμοιότη τα καὶ τὴν ἀνομοιότητα τῆς κράσεως γίνεσθαι.

17a 97 τῆς γὰρ ὑγείας ἐκ συμμετρίας γινομένης τῶν τεττάρων στοιχείων, εἴτε ποιοτήτων εἴτε δυνάμεων θέλεις ὀνομάζειν, ὑγρότητος καὶ ξηρότητος καὶ θερμότητος καὶ ψυχρότητος, ἔνια τῶν σωμάτων καὶ φύσιν καὶ ἡλικίαν ἐστὶ δύσκρατα. τούτοις οὖν αἱ μὲν ὅμοιαι καταστάσεις νοσώδεις εἰσίν, αἱ δ' ἐναντίαι συμφέρουσιν αὐτοῖς. τοῖς δ' εὐκράτοις σώμασιν αἱ μὲν εὔκρατοι καταστάσεις ὑγιειναί, βλαβεραὶ δ' αἱ δύσκρατοι. ἀλλ' ὥσπερ οὐδεμία τῶν δυσκράτων καταστάσεων ἀγαθὴ τοῖς εὐκράτοις ἐστίν, οὕτως οὐδὲ μεγάλως βλαβερά, καθάπερ τοῖς δυσκράτοις. αἱ μὲν γὰρ ἰσχυρῶς ὑγραὶ καὶ ψυχραὶ καταστάσεις ἐσχάτως βλάπτουσι τὰ δύσκρατα σώματα καθ' ὑγρότητα καὶ ψυχρότητα, καθάπερ γε καὶ αἱ ὑγραὶ καὶ [αἱ] θερμαὶ καταστάσεις τὰς ὑγρὰς καὶ θερμὰς τῶν κράσεων βλάπτουσιν, καὶ κατὰ τὸν αὐτὸν λόγον αἱ θερμαὶ καὶ ξηραὶ τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοίας. ὅσα γὰρ ἐγγὺς ἤδη τοῦ νοσεῖν ἐστι σώματα νόσον τοιάνδε διὰ τὴν οἰκείαν δυσκρασίαν, 〈τούτοις ἡ νόσος ἐπικρατούσης τῆς δυσκρασίας〉 ἐξελέγχεται.

17a 98 τὰ δ’ ἐναντίως κεκραμένα τῷ περιέχοντι πρὸς τῷ μηδὲν ἀδικεῖσθαι γίνεται βελτίω τῆς ἀμετρίας κολαζόμενα. “τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα.” ταῖς οὖν θερμαῖς καὶ ξηραῖς κράσεσιν ἡ ὑγρὰ καὶ ψυχρὰ κατάστασις ὠφέλειαν μᾶλλον ἢ βλάβην παρέχει, διὰ τῆς εἰς τοὐναντίον ἀγωγῆς μεσότητα κράσεως ἐργαζομένη. καὶ τοῦτό ἐστιν αἴτιον τοῦ μὴ νοσεῖν ἅπαντας ἐν ταῖς δυσκράτοις καταστάσεσιν. ἐὰν οὖν τις τοῦτο γινώσκῃ, τὴν ὑγείαν φυλάξει, τοῖς σώμασι τἀναντία διαιτήματα προσάγων. ἐὰν γὰρ ὑγρὸν καὶ ψυχρὸν ᾖ τὸ περιέχον, ἡμᾶς δεήσει θερμαίνειν τὰ σώματα, καὶ μάλισθ’ ὅσα ψυχρότερά τέ ἐστι καὶ ὑγρότερα. γυμνάσιά τε οὖν πλείω τοῖς τοιούτοις ὠφέλιμα καὶ οἶνος ὀλίγος τῇ θερμοτέρᾳ φύσει 〈τῶν〉 ὑγρῶν ἑλκτικὸς ἐδέσματά τε ἐκθερμαίνοντα. καὶ μέντοι καὶ τὸ καθ’ ἕκαστον αὐτῶν ποσὸν ἔκ τε τῆς τοῦ σώματος κράσεως εἰσόμεθα καὶ τῆς τοῦ περιέχοντος, ἐφ’ ὅσον ἑκάτερον ἐκτέτραπται τῆς εὐκρασίας ἐπισκοπούμενοι. κατὰ γὰρ τὸ μέγεθος τῆς ἐκτροπῆς καὶ τὸ ποσὸν τῆς διαίτης ὑπαλλακτέον, οἷον εἴ τί ἐστι σῶμα τῆς εὐκρασίας ἐπὶ πλεῖστον ἀποκεχωρηκὸς πρὸς ὑγρότητά τε καὶ ψυχρότητα, τοῦτο κατὰ τὴν προκειμένην κατάστασιν ἐπὶ πλέον αὐτοὶ ξηρανοῦμέν τε καὶ θερμανοῦμεν.

17a 99 εἰ δὲ μετρίως εἴη τοιοῦτον, ἄλογον ἂν εἴη ἐσχάτως αὐτὸ τοῦτο ποιεῖν [ἀναλόγως ἂν]. πολὺ δὲ δὴ μᾶλλον ἐπὶ τῶν ξηρῶν καὶ θερμῶν σωμάτων οὐ χρὴ τὰ διαιτήματα σφοδρῶς εἶναι θερμὰ καὶ ξηρά (παρ’ ἑαυτῶν γὰρ ἔχει τοῦτο)· σκοπεῖσθαι δὲ μόνον, ὁπόσον τὸ περιέχον ἐκτέτραπται τῆς προσηκούσης εὐκρασίας. εἰ μὲν γὰρ ὀλίγον, οὐδ’ ὅλως ὑπαλλάξομεν τὴν μέσην δίαιταν ἐπὶ τῶν θερμῶν καὶ ξηρῶν σωμάτων· εἰ δ’ ἐπὶ πλέον, ἀρκέσει τὸ μετρίως ὑπαλλάξαι. ταῦτ’ οὖν ὅστις ἐστὶν ἐπιστάμενος, τὰς αἰτίας τῆς ἑκάστου τῶν νοσημάτων γενέσεως ἐν ἑκάστῃ καταστάσει φυλάξει. Κόιντος δὲ τοῖς ἐμπειρικοῖς ὁμοίως ἀρνούμενος ἐπίστασθαι τῶν οὕτως γινομένων παθῶν τὰς αἰτίας, ἀναφέρων δ’ εἰς πεῖραν μόνην αὐτὰς τῶν προσηκόντων βοηθημάτων τῆς εὑρέσεως ἠπόρει, καίτοι δι’ αὐτὸ τοῦτο χρησίμης οὔσης ἐγνῶσθαι τῆς γενέσεως τῶν ἐπιδημίων νοσημάτων.

17a 100 ἐπισκεψώμεθα οὖν ἡμεῖς τὴν προκειμένην κατάστασιν, ἀναλαβόντες ἐξ ἀρχῆς. ἐγένετο δή, καθάπερ ὁ Ἱπποκράτης ἐδήλωσεν, ὑγρὰ καὶ ψυχρά, τὴν ἀρχὴν ἀπὸ φθινοπώρου ποιησαμένη. διὰ τοῦτ’ οὖν ἐν μὲν αὐτῷ τῷ φθινοπώρῳ καὶ τῷ μετ’ αὐτὸν χειμῶνι μετρίως διῆγον οἱ Θάσιο ι. κατὰ δὲ τὸ ἔαρ, ἐπειδὴ καὶ αὐτὸ ψυχρόν τε καὶ ὑγρὸν ἐγένετο, πρῶτοι πάντων ἐνόσησαν οἱ ὀφθαλμοί, διότι μὴ μόνον ὑγρὸν ἦν καὶ ψυχρὸν τὸ περιέχον, ἀλλὰ καὶ λαιλαπῶδες ἔμπροσθεν ἐγεγόνει. πληττομένους οὖν ὑπὸ τῶν ψυχρῶν ἀνέμων τοὺς ὀφθαλμοὺς εἰκὸς ἦν πρώτους τῶν ἄλλων μερῶν νοσῆσαι τοῦ σώματος κατὰ τὴν τοῦ δρῶντος αἰτίου φύσιν, ὥστ’ οὐκ ἀλόγως αὐτοῖς ὑγρὰ καὶ ψυχρὰ ῥεύματα συνέπεσεν. ἐπειδὴ δ’ οὐκ ἤχθη πρὸς 〈τὴν〉 ἐσχάτην ἡ κατάστασις ὑγρότητα 〈καὶ ψυχρότητα〉, διὰ τοῦτο τῶν ἄλλων παθημάτων οὐδὲν ἠκολούθησεν, ὅσα πλεονεκτούσης ἐν τῷ περιέχοντι τοιαύτης κράσεως εἴωθε γίγνεσθαι, λέγω δὲ ἀποπληξίας καὶ σπασμοὺς καὶ παλμοὺς καὶ τετάνους, περιπνευμονίας τε καὶ πλευρίτιδας. ἀλλ’ ὕστερόν γε νοσήματα πληθωρικὰ μετὰ διαφθορᾶς ἐγένετο, σηπομένων ἤδη τῶν χυμῶν διὰ τὴν πολυχρόνιον ἔνδον μονήν. καὶ γὰρ τὰ ψυχρὰ τῶν αἰτίων πυκνοῦντα τὸ δέρμα κω λύει διαφορεῖσθαι τοὺς χυμούς, ἥ θ’ ὑγρότης ἡ ἐκ τοῦ περιέχοντος οὐ μόνον οὐδὲν ἀπάγει τοῦ σώματος, ἀλλὰ καὶ προσδίδωσιν.

17a 101 ἀμφοτέρων οὖν ὁμοῦ γενομένων ἐν τῇ προκειμένῃ καταστάσει, πλῆθος ἠθροίσθη κατὰ τὰ σώματα τῶν νοσησάντων οὐχ ὅμοιον ἅπασιν. οἷς μὲν γὰρ ἦν ἐν τῷ σώματι χολῶδες περίττωμά τι 〈μὴ〉 διαφορηθέν, τοῦτο χολῶδες τὸ πάθος ἐποίησεν, οἷς δὲ φλεγματικὸν ἢ μελαγχολικὸν ἢ αἱματικόν, αὐτίκα καὶ τὸ πάθος ἦν ὅμοιον τῷ μὴ κενωθέντι. διαφθείρεσθαι δὲ πεφυκυίας ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ σώματι καὶ σήπεσθαι τῆς τοιαύτης περιουσίας, εὔλογον ἦν ἄλλους ἄλλοις ἁλῶναι νοσήμασιν, πρὸς τῷ καὶ τὰ μέρη τοῦ σώματος οὐχ ὁμοίως διακείμενα πάντας ἔχειν, ἀλλὰ τῷ μὲν ἧπαρ ἀσθενέστερον εἶναι, τῷ δὲ σπλῆνα, τῷ δὲ γαστέρα, τῷ δὲ ἔντερον, τῷ δὲ ἄλλο τι. δεχομένων οὖν ἀεὶ τῶν ἀσθενεστέρων μορίων τὴν ἐκ τῶν ἰσχυροτέρων περιουσίαν, ἀκόλουθον ἦν καὶ κατὰ τὴν τῶν τόπων φύσιν ἄλλον ἄλλο παθεῖν τῶν Θασίω ν. αἱ μὲν οὖν δυσεντερίαι καὶ οἱ τεινεσμοὶ καὶ αἱ διάρροιαι καὶ λειεντερίαι ῥυέντων εἰς 〈τὰ〉 ἔντερα τῶν περιττῶν ἐγένοντο, δυσουρίαι δ’ εἰς τὴν κύστιν τραπομένων, ἔμετοι δ’ ἐπὶ τὸ στόμα τῆς γαστρὸς ἀφικομένων. [10]

17a 102 ἀλλὰ ταῦτα μὲν ἔσωθεν τοῦ σώματος ὥρμησε διὰ τὴν ἐκ τοῦ περιέχοντος ψῦξιν. ἐν δὲ τῷ θέρει ταῖς θερμοτέραις κράσεσι τῶν σωμάτων ἰσχυρά τε τὰ ἔνδον ἐχούσαις εἰκὸς ἦν ἱδρῶτας γενέσθαι, καὶ τισὶ μὲν αὐτῶν ἄνευ πυρετῶν τοῦτο συμβῆναι, μηδέπω σῆψιν ἱκανὴν ἐσχηκυίας τῆς περιουσίας, ἐνίοις δὲ καὶ μετὰ τοῦ πυρέττειν. ἐν δὲ τῷ χρόνῳ προήκοντι καὶ πυρετοὺς γενέσθαι ποικίλους, ἄλλον ἄλλης ἰδέας, ἐπειδὴ καὶ οἱ σηπόμενοι χυμοὶ διαφέροντες ἦσαν. οὐ γὰρ ἐγεννήθησαν ὑπὸ τοῦ περιέχοντος, ἀλλ’ ἠθροίσθησαν, ἅτε τῆς καταστάσεως ψυχρᾶς, οὐ θερμῆς γενομένης, οἵα κατὰ τὸν ἑαυτῆς λόγον ἐκθερμαίνει τὸ σῶμα κἂν ᾖ μετὰ τὴν τοῦ κυνὸς ἐπιτολὴν ἀεὶ γίνεσθαι πεφύκασι πυρετοὶ διακαεῖς. ἀλλὰ νῦν γε οὐχ ὑπ’ αὐτῆς πρώτως ἐγένοντο τῆς καταστάσεως, ἀλλὰ διὰ μέσης τῆς πυκνώσεως τοῦ δέρματος. ἡ μὲν οὖν σύνοψις τῶν ἐπιδημησάντων τότε παθημάτων εἴρηταί μοι· πρὸς δὲ τὰ κατὰ μέρος ἤδη τρέψομαι μετὰ τοῦ καὶ τὴν λέξιν, εἴ πού τι φαίνοιτο μὴ σαφὲς ἔχειν, ἐξηγεῖσθαι. [15]

17a 103 Στραγγουριώδεε c , οὐ νεφριτικ ά , ἀλλὰ τούτοισιν ἄλλα ἀν τ ’ ἄλλω ν . Καὶ διὰ τῆς ἕδρας ἐκκρίσεις γίνονται μοχθηραὶ πολλάκις, ἀπαθῶν μὲν τῶν κατὰ τὴν γαστέρα μενόντων, ἐκκαθαιρομένου δὲ δι’ αὐτῶν ὅλου τοῦ σώματος, ὡς ἀποστάσεως οὔσης κατ’ αὐτὴν κατ’ ἔκρουν τινα κατ’ αὐτὸν τὸν Ἱπποκράτην βουλόμενον 〈οὐ μόνον〉 κατ’ ἀπόθεσιν, ἀλλὰ καὶ κατ’ ἔκρουν ἀπόστασιν γίνεσθαι. οὕτως οὖν καὶ διὰ νεφρῶν καὶ κύστεώς ἐστιν ὅτε πᾶν ἐκκαθαίρεται τὸ σῶμα, μηδὲν αὐτῶν τῶν ὀργάνων ἴδιον ἐχόντων πάθος, ὥσπερ ἐπὶ τῆς προκειμένης καταστάσεως ἐγένετο. διὸ [τι] καὶ προελθὼν αὐτὸς ἐρεῖ κατὰ λέξιν· “μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γενομένων σημείων καὶ πλείστους ἐρρύσατο τῶν ὄντων ἐπὶ τοῖσι μεγίστοισι κινδύνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο καὶ ἐς τοῦτο ἀποστάσιες ἐγίνοντο. [10]

17a 104 ” τοῦτ’ οὖν ἐστι τὸ καὶ νῦν εἰρημένον οὐ νεφριτικ ά , ἀλλὰ τούτοισιν ἄλλα ἀν τ ’ ἄλλω ν. καὶ γὰρ τῶν ἐν ὅλῳ τῷ σώματι περιττῶν ῥυέντων ἐπὶ νεφροὺς καὶ κύστιν, ἐκκρίσεις ἐπεγίνοντο παραπλήσιαι ταῖς νεφριτικαῖς. Ἔμετοι φλεγματώδεε c , χολώδεες καὶ σιτίων ἀπέπτων ἀναγωγα ί . Τῆς ἔσω ῥεπούσης περιουσίας τῶν χυμῶν ὅσον ἐπὶ τὴν ἕδραν ἐρρύη, διαρροίας τε καὶ τεινεσμοὺς καὶ δυσεντερίας καὶ λειεντερίας εἰργάσατο. διὰ νεφρῶν δὲ καὶ κύστεως ἄλλο τὴν ἔκκρισιν ἔσχεν. οὕτως οὖν 〈ἐγένετο τὸ στραγγουριῶδες. ὡσαύτως δὲ καὶ〉 ἐρρύη τὸ περιττὸν εἰς τὴν ἄνω γαστέρα καὶ δι’ ἐμέτων ἐπιπολάσαν ἐξεβλήθη, τοῖς μὲν φλεγματώδεσι φύσει φλεγματωδῶν ἐμέτων γινομένων, τοῖς δὲ χολώδεσι χολωδῶ ν. [10]

17a 105 εἴρηται γὰρ ὅτι διὰ μὲν τὴν κατά στασιν ἠθροίσθη τὰ περιττά, διέφερε δ’ ἀλλήλων ταῦτα ταῖς ποιότησι κατὰ τὰς φύσεις τῶν σωμάτων. θαυμαστὸν δ’ οὐδέν, εἰ καὶ σιτίων ἀπέπτων ἀναγωγαὶ τούτοις ἐγένοντο, φλεγματωδῶν καὶ χολωδῶν χυμῶν εἰς τὴν γαστέρα συρρεόντων. Ἱδρῶτε c . Ὅσοις φύσει μὲν διὰ τοῦ δέρματος ἀπόρροιαι πλείους ἐγένοντο, 〈εἶτα δ’ ἐπεσχέθησαν διὰ τὴν πύκνωσιν αὐτοῦ〉 , κατ’ ἐκεῖνον τὸν χρόνον, 〈καθ’ ὃν〉 ἴσχυσεν ἡ φύσις ἀπώσασθαι τὸ περιττὸν ἐνταυθοῖ, εἰκὸς οὕτως τούτοις ἱδρῶτας γενέσθαι. Πᾶσι πάντοθεν πολὺς πλάδο c . Τὴν περιττὴν ὑγρότητα πλάδον εἴωθεν ὀνομάζειν. [11]

17a 106

ἐπεὶ τοίνυν ἄλλοις ἄλλως, τισὶ δὲ καὶ πολυειδῶς ἐξεκενοῦτο τὰ συνειλεγμένα χρόνῳ πολλῷ τῶν ὑγρῶν, διὰ τοῦτο εἰκότως ἔφη· πᾶσι πάντοθεν 〈πολὺς〉 πλάδο ϲ. Ἐγίνετο δὲ ταῦτα πολλοῖσιν ὀρθοστάδην ἀπύροις ι , 〈πολλοῖσι δὲ πυρετο ί ,〉 περὶ ὧν γεγράψετα ι . Ὅσοις μὲν ἔφθασε τὸ ἠθροισμένον πλῆθος ἤ τοι χολῶδες 〈ἢ ἀλλοιῶδες〉 ὑπάρχον ὅλως εὐδιάφθαρτον εἰς σηπεδόνα πυρετώδη μεταβαλεῖν, ἐπύρεξαν οὗτοι παραχρῆμα. τινὲς δ’ ὀρθοστάδην ἄπ 〈υροι περιῆσαν〉 πρότερον, 〈εἶτ’〉 εἰς τοὺς πυρετοὺς ἠνέχθησαν. Ἐν οἷσι δὲ ἐπεφαίνετο πάντα τὰ ὑπογεγραμμέν α , μετὰ πόνου φθινώδεες ἤδη μὲν φθινοπώρου καὶ ὑπὸ χειμῶν α . Περί τε τοῦ δευτέρου φθινοπώρου δηλονότι λέγει καὶ τοῦ δευτέρου χειμῶνος, ἐπεὶ περί γε τοῦ προτέρου προείρηκεν οὕτως· “κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα. [14]

17a 107 πρωὶ δὲ τοῦ ἦρος πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπινόσως”. εἶτα περὶ τῶν ἐν τῷ ἦρι γενομένων διελθών, ἐφεξῆς τοῦ θέρους ἐμνημόνευσε καὶ μετὰ τοῦτο τοῦ δευτέρου φθινοπώρου, περὶ οὗ κατὰ τὴν τελευτὴν τῆς ὅλης καταστάσεως εἰρήκει· “ταχὺ περὶ ἀρκτοῦρον ἐν βορείοισι πολλὰ 〈πάλιν〉 ὕδατα”. φθινώδεις δὲ τίνας εἴρηκεν, οὐ πάνυ σαφές ἐστιν. εἴωθε γὰρ τοὺς ὁπωσδήποτε ἰσχνουμένους τὸ σῶμα καὶ φθίνοντας οὕτως ὀνομάζειν, οὐ μόνον τοὺς διὰ τὴν τοῦ πνεύμονος ἕλκωσιν ὅλον τὸ σῶμα τηκομένους. εἰκὸς δὲ καὶ νῦν ὑπ’ αὐτοῦ λελέχθαι φθινώδεις τοὺς ὁπωσδήποτε τὸ σῶμα λεπτυνομένους, μηδενός γε προειρημένου περὶ τῶν κατὰ τὸν πνεύμονα νοσημάτων. οὔτε γὰρ αἵματος ἀναγωγὴν ἐξ αὐτοῦ γεγονέναι προειπὼν οὔτε περιπνευμονίαν οὔτε ῥεῦμα κατασκῆψαι τῷ σπλάγχνῳ τούτῳ, πῶς ἂν εἰκότως δόξαι φθινώδεις λέγειν γεγονέναι τοὺς τότε κάμνοντας ἐπὶ τῇ κακώσει τοῦ πνεύμονος; οὐ μὴν ἀδύνατόν γε, καθάπερ ἐπὶ γαστέρα καὶ νεφροὺς ἧκέ τι τῆς καθ’ ὅλον τὸ σῶμα περιουσίας, οὕτως καὶ τοῖς ἀναπνευστικοῖς 〈ὀργάνοις〉 κατασκῆψαι. [15]

17a 108 Καὶ ὑπὸ χειμῶνα πυρετοὶ ξυνεχέε ϲ . Τὸ ὑπὸ χειμῶνα μεταξὺ λεγόμενον τῆς τε προγεγραμμένης λέξεως καὶ ταύτης οἱ μὲν ἐκείνῃ προσένειμαν, οἱ δὲ ταύτῃ. ἐμοὶ δὲ σύμπας ὁ λόγος φαίνεται τοιόσδε· καὶ κατὰ τὸ φθινόπωρον ἤδη τινὲς ἐγένοντο φθινώδεις, ὡσαύτως δὲ καὶ κατὰ τὸν χειμῶν α. καὶ μέντοι καὶ πυρετοὶ συνεχεῖς καὶ κατὰ τὸ φθινόπωρον ἐγένοντο καὶ κατὰ τὸν χειμῶν α. πρόδηλον δ’ ὅτι τοῦ δευτέρου χειμῶνος οὐκ ἔγραψε τὴν κατάστασιν ὡς φυλάξαντος τὴν οἰκείαν χειμῶνος κρᾶσιν. ἐμάθομεν οὖν ἐκ τοῦδε τοῦ λόγου νοσήματα γίνεσθαι κατ’ ἐνίας τῶν ὡρῶν οὐδὲν αὐτὰς πεπονθυίας, ἀλλὰ τὰ τῶν πρόσθεν ἁμαρτήματα διαδεξαμένας. Καί τισιν αὐτῶν ὀλίγοισι καυσώδεε ϲ . [15]

17a 109 Οὐ κατὰ τὸν ἴδιον λόγον τῆς καταστάσεως οἱ καυσώδεις ἐγίνοντο πυρετοί, κατά τι δὲ συμβεβηκός, καθάπερ πρόσθεν εἴπομεν τὰ συμβεβηκότα. ἐπισχεθείσης γὰρ τῆς καθ’ ὅλον τὸ σῶμα διαπνοῆς τὰ περιττεύειν ἑκάστῃ τῶν φύσεων εἰθισμένα κωλυθέντα τῆς κενώσεως οἰκείας ἑαυτοῖς ἐγέννησαν νόσους, ὡς, ὅσοι σφοδρῶς ἦσαν χολώδεις, τούτοις φύσει [εἰθισμένα] συνέβη τὸν καῦσον γενέσθαι, διὸ καὶ περὶ αὐτῶν ἐφεξῆς ἐρεῖ· “οἱ μὲν οὖν καῦσοι ἐλαχίστοισιν ἐγένοντο καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν.” εἰ γὰρ θερμὴ καὶ διακαὴς καὶ αὐχμηρὰ κατάστασις ἐγέννησεν αὐτούς, πολλοί τ’ ἂν ἐγένοντο καὶ πολλοῖς καὶ μετὰ πόνων ἰσχυρῶν. Ἡμερινο ί , νυκτερινο ί , ἡμιτριταῖο ι , τριταῖοι ἀκριβέε ϲ , τεταρταῖο ι , πλάνητε ϲ . *** *** διὰ τί πᾶν μὲν εἶδος ἐν τῇ προγεγραμμένῃ καταστάσει συνέβη γενέσθαι, πρόσθεν εἴρηται. [14]

17a 110 τὸ δ’ ἀκριβέες μεταξὺ κείμενον τοῦ τε τριταῖοι καὶ τεταρταῖοι προσνέμειν ἑκατέροις ἐγχωρεῖ. 〈Οἱ μὲν οὖν καῦσοι ἐλαχίστοισιν ἐγένοντο καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν ·〉 οὔτε γὰρ ἡμορράγησε ν , εἰ μὴ πάνυ τι σμικρὰ καὶ ὀλίγοισι ν , οὔ θ ’ οἱ παράληρο ι . τὰ δ ’ ἄλλα πάντα εὐφόρω ϲ . Ἴδιον Ἱπποκράτους ἐστὶ τὸ διδάσκειν ἐν παρέργῳ θεωρήματα χρήσιμα. τὰ γὰρ οἰκεῖα τῶν νοσημάτων συμπτώματα μὴ γενόμενα τότε κατὰ τοῦτον εἴωθε τὸν τρόπον ἑρμηνεύειν, ἐκ τοῦ μὴ γενέσθαι τότε γενέσθαι πολλάκις αὐτὰ διδάσκων. [10]

17a 111 ἐν μὲν οὖν τοῖς γνησίοις, ὡς ἂν εἴποι τις, καύσοις διὰ τὸ πλῆθος τῆς θερμασίας ἐπὶ τὴν κεφαλὴν ἀναφερομένων τῶν χυμῶν αἱμορραγίαι τε καὶ παράληροι γίνονται. νυνὶ δὲ (οὐ γὰρ ἦν γνήσιος ὁ καῦσο c) εἰκότως οὐδὲ τὰ συμπτώματα ἔσχε τὰ καύσων ἴδια. Ἐκρίνετο τούτοισι πάνυ εὐτάκτω c , τοῖσι πλείστοισι ξὺν τῇσι διαλειπούσῃσιν ἐν ἑπτακαίδεκα ἡμέρῃσι ν . Καὶ τοῦτο τῶν τότε γενομένων καύσων ἴδιον, οὐ κοινὸν πρὸς τοὺς ἄλλους, οὓς γνησίους ὠνομάσαμεν. ἐκεῖνοι γὰρ ὥσπερ σφοδροὶ τοῖς πυρετοῖς, οὕτω καὶ τῇ δίψῃ καὶ τῇ ἀγρυπνίᾳ καὶ τῇ δυσφορίᾳ καί που καὶ τῇ παραφορᾷ τῆς διανοίας ἐνοχλοῦσιν. διὰ δὲ τὴν τοιαύτην ὀξύτητα καὶ τὴν κρίσιν ἔχουσιν ἐν τάχει γινομένην. ἐν δὲ τῷ νῦν ἐπιδημήσαντι καύσῳ, καθάπερ τὸ τῆς ὀξύτητος ἦν μέτριον καὶ τῶν ἐπιπόνων συμπτωμάτων οὐδέν, οὕτως οὐδ' ἡ κρίσις ἐγίγνετο βέβαιος, ἀλλ' οἷον ἡμίρροπός τις, ὡς ἐξ ὑποστροφῆς αὖθις κρίνεσθαι τὸ δεύτερον. [10]

17a 112 ἐν γὰρ τῷ φάναι σὺν τῇσι διαλειπούσῃσιν 〈ἐν ἑπτακαίδεκα ἡμέρῃσιν〉 τὸ προκεκρίσθαι μὲν ἐνδεῶς, ἐξ ὑποστροφῆς δὲ κριθῆναι τὸ δεύτερον ἐνεδείξατο. Οὐ δ ' ἀποθανόντα οὐδένα οἶδα τῷ τότε καύσῳ οὐδὲ φρενιτικὰ τότε γενόμεν α . Οὐδεὶς μὲν ἀπέθανεν 〈ἐν〉 τῷ τότε καύς ῳ, ὅτι μέτριος ἐγένετο, καὶ λέλεκται πρόσθεν ἡ αἰτία τούτου. τὰ φρενιτικὰ δ' οὐκ ἐγένετο, διότι μὴ ἐπληροῦτο τούτοις ἡ κεφαλὴ τῆς καταστάσεως ὅλης ψυχρᾶς οὔσης. ἐδείχθη δ', ὅτι φρενίτιδες ὑποθερμαινομένων τῶν κατὰ τὸν ἐγκέφαλον χωρίων γίνονται. Οἱ δὲ τριταῖοι πλείους μὲν τῶν καύσων καὶ ἐπιπονώτεροι · εὐτάκτως δὲ τούτοισι πᾶσιν ἀπὸ τῆς πρώτης λήψεως τέσσαρας περιόδου c · ἐν ἑπτὰ δὲ τελέως ἐκρίνοντο οὐ δ ' ὑπέστρεψαν οὐδενὶ τούτω ν . [12]

17a 113 [Περὶ τῆς διαφορᾶς τῶν πυρετῶν.] Ἔν τε τοῖς Περὶ διαφορᾶς 〈πυρετῶν〉 ὑπομνήμασι κἀν τοῖς Περὶ κρίσεων ἐπιδέδεικται τά τ' ἄλλα καὶ ὅτι διὰ πλεονεξίαν χολῆς ξανθῆς οἵ τε καῦσοι καὶ οἱ τριταῖοι γίνονται καὶ τοῦτο ἔχοντες κοινὸν διαφέρουσι τοῖς τόποις, ἐν οἷς ὁ πλεονάζων ἀθροίζεται χυμός. ἐν μὲν γὰρ τοῖς καύσοις κατὰ τὰς φλέβας πλεονάζει καὶ μάλιστα τὰς καθ' ἧπαρ καὶ γαστέρα, τριταῖοι δὲ πυρετοὶ γίνονται κατὰ τὰς ἐν ὅλῳ τῷ σώματι σάρκας ἐπικρατούσης τῆς ξανθῆς χολῆς. ἐπισχεθείσης οὖν τῆς διαπνοῆς τοῖς φύσει χολώδεσιν, ὅσον ἐν τῷ σαρκώδει γένει τῆς χολῆς ἀθροιζόμενον ἐκενοῦτο πρότερον, οὐ κενωθὲν ἐν τῇ νῦν καταστάσει τοὺς τριταίους ἐγέννησε πλείους τῶν καύσω ν. ἐκεῖνοι γὰρ οὐ πάνυ τι τὴν γένεσιν ἐξ ἐπισχέσεως ἴσχουσι χολωδῶν περιττωμάτων, ἀλλὰ τῆς ἐν τοῖς ἀγγείοις τε καὶ σπλάγχνοις θερμασίας ἀπεκταθείσης, ὡς ἐκφλογωθείσης 〈ἐκ〉 τῆς καταστάσεως τῆς θερμῆς ἰσχυρῶς, ὡς γίνεται τοῖς γυμνασαμένοις ἐπὶ πλέον ἢ φροντίσασιν ἰσχυρῶς ἢ ἐν ἡλίῳ διατρίψασιν ἐπὶ πλέον ἢ ἐδέσμασι καυσώδεσι χρησαμένοις δαψιλῶς ἢ καὶ τὰ πλεῖστα τούτων ἢ καὶ ἅπαντα πράξασί τε καὶ παθοῦσιν. [5]

17a 114 ἀλλ' οὐχὶ νῦν 〈ἦν〉 κατάστασις ἰσχυρῶς θερμή, διόπερ οὐδ' οἱ καῦσοι πολλοῖς ἐγίγνοντο, μᾶλλον δὲ τοῖς λίαν χολώδεσι, καὶ τούτοις μετριώτατοι. τοῖς δ' αὐτοῖς τούτοις εἰκότως μᾶλλον καὶ οἱ τριταῖοι συνέβησαν ἐκ τοῦ τὰς εἰθισμένας ἀπορροίας τῶν χολωδῶν περιττωμάτων ἐπισχεθῆναι. κατὰ λόγον οὖν τούτοις ἐπιπονώτεροί τε τῶν καύσων ἐγένοντο, διότι καὶ γνησιώτεροι, καὶ τὰς κρίσεις οἰκείας ἔσχον. Οἱ δὲ τεταρταῖοι πολλοῖσι μὲν ἐξ ἀρχῆς ἐν τάξει τεταρταίου ἤρξαντ ο , ἔστι δ ' οἷσιν οὐκ ὀλίγοις ἐξ ἄλλων πυρετῶν καὶ νοσημάτων ἀποστάσιες 〈ἐς〉 τεταρταίους ἐγένοντο · μακρὰ δὲ καὶ ὡς εἴθισται τούτοισι καὶ ἔτι μακρότερα συνέπιπτε ν . [15]

17a 115 Οὐδ' οὗτοι διὰ τὴν κατάστασιν ἐγένοντο πρώτως, ἀλλ' ἐκ τοῦ μὴ κενοῦσθαι ταῖς μελαγχολικαῖς φύσεσι τὴν περιουσίαν τῆς μελαίνης χολῆς 〈ταύτας〉 ἁλῶναι τοῖς τοιούτοις νοσήμασι συνέβη. χρονίσαι δ' αὐτοῖς ἐγένετο τῆς καταστάσεως οὔσης ὑγρᾶς καὶ ψυχρᾶς, ἐν ᾗ πάντα τὰ αἴτια μέχρι πλείστου κατὰ τὸ σῶμα μένει, μήτε πεττόμενα μήτε διαπνεόμενα. μέμνησο δὲ πάλιν ἐνταῦθα τῆς περὶ τοὔνομα 〈 τῆς ἀποστάσεως τριττῆς〉 χρήσεως, τοῦ Ἱπποκράτους εἰπόντος 〈ἐξ ἄλλων πυρετῶν καὶ νοσημάτων〉 ἀποστάσεις εἰς τεταρταίους γεγονένα ι. φαίνεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈γὰρ〉 οὐ μόνον κατ’ 〈ἀπόθεσιν καὶ κατ’〉 ἔκρουν ἀποστάσεις τινὰς ὀνομάζων, ἀλλὰ καὶ κατὰ μετάστασιν ἐξ ἑτέρου νοσήματος εἰς ἕτερον. Ἀμφημερινοὶ δὲ 〈καὶ〉 νυκτερινοὶ καὶ πλάνητες πολλοὶ πολ λοῖσι καὶ πολὺν χρόνον παρέμενον ὀρθοστάδην τε καὶ κατακειμένοισι ν . [13]

17a 116 Οὐ μόνον οὗτοι τῷ λόγῳ τοῦ πλήθους 〈τῶν περιττωμάτων〉 , ἀλλὰ καὶ τῇ τῆς καταστάσεως κράσει τὴν γένεσιν ἔχοντες εἰκότως ἐγένοντο πολλοί τε καὶ πολλοῖ c. ἡ γὰρ ὑγρά τε καὶ ψυχρὰ κατάστασις, ὥσπερ ὁ χειμών, φλεγματώδη γεννᾷ χυμόν, ἐφ’ ᾧ τοὺς ἀμφημερινοὺς 〈καὶ νυκτερινοὺς〉 ἐδείξαμεν γίνεσθαι πυρετούς. οἱ πλάνητες δὲ ποικιλωτέρων χυμῶν ἐδείχθησαν ἔκγονοι. θαυμαστὸν δ’ οὐδέν, εἰ πολλῷ χρόνῳ παρέμενον οἱ τοιοῦτοι πυρετοί, τῆς καταστάσεως ὑγρᾶς καὶ ψυχρᾶς ὑπαρχούσης καὶ διὰ τοῦτο μηδὲ πέττεσθαι τοὺς χυμοὺς ἐπιτρεπούσης, καὶ μάλιστα ὡς χρονίους 〈διὰ τὴν φύσιν ὄν〉 τας καὶ δυσπέπτους διὰ τὴν ψῦξιν. Τοῖσι πλείστοισι τούτων ὑπὸ πληιάδα καὶ μέχρι χειμῶνος οἱ πυρετοὶ παρείποντ ο . Πρόδηλόν ἐστιν, ὅτι τῆς πλειάδοσι οὐ τῆς ἐν τῇ νῦν καταστάσει δύσεως ἐμνημόνευσεν, ἀλλὰ τῆς μετὰ τὴν ὅλην κατάστασιν ἐν τῷ δευτέρῳ ἔτει, καθότι καὶ πρόσθεν ἐλέγομεν. [14]

17a 117 ἐπὶ τέλει γὰρ ἐκείνης τῆς καταστάσεως ἔγραψε· “ταχὺ δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισι πολλὰ πάλιν ὕδατα.” καὶ μετὰ τοῦτο δὲ 〈περὶ τῆς ὕστερον καταστάσεως οὐδὲν〉 εἶπεν, ὡς ἐπὶ τὸ κατὰ φύσιν ἤδη τῆς τῶν ὡρῶν τάξεως ἀφιγμένης καὶ 〈ἅμα καὶ τοῦ φθινοπώρου〉 τοῦ λοιποῦ παντός, τοῦ μετὰ τὸν ἀρκτοῦρον, ὥσπερ γε καὶ τοῦ μετὰ τοῦτο χειμῶνο c. εἰκότως οὖν ὅσα τῆς πρώτης καταστάσεως ἦν λείψανα, κατὰ τὸ φθινόπωρον ἐπέφθη καὶ τοῦ χειμῶνος οὐδεμίαν οὐκέτι νόσον ἐπιδήμιον 〈ἐνόσησαν〉 οἱ Θάσιο ι. Πολλοῖσι δὲ σπασμο ί , μᾶλλον δὲ παιδίοισι ν , ἐξ ἀρχῆς καὶ ὑπεπύρεσσον 〈καὶ ἐπὶ πυρετοῖσιν〉 ἐγίνοντο σπασμοί · χρόνια μὲν τοῖς πλείστοισι τούτω ν , ἀβλαβέα δ έ , εἰ μὴ ἐπὶ τοῖσι καὶ ἐκ τῶν ἄλλων πάντων ὀλεθρίως ἔχουσι ν . Οἱ σπασμοὶ 〈μὲν〉 ἐγίνοντο τῆς καταστάσεως ψυχρᾶς καὶ ὑγρᾶς γενομένης. [16]

17a 118 ἐπιτηδειότατα δὲ τὰ παιδία σπασμοῖς ἁλίσκεσθαι διὰ τὴν ἀσθένειαν τοῦ νευρώδους γένους. διὰ τοῦτο γὰρ καὶ ῥᾳδίως ἐπὶ σμικραῖς προφάσεσι γίνεται τὸ πάθος αὐτοῖς καὶ ἧσσον κινδυνῶδές ἐστιν. φησὶ δὲ τοὺς σπασμοὺς ἐνίοις μὲν ἐξ ἀρχῆς εὐθὺς γενέσθα ι, τισὶ δὲ πυρετοῦ προγενομένου, παρὰ τὴν ἐπιτηδειότητα δηλονότι τὴν πρὸς ἑκάτερον ὑπάρχουσαν τοῖς ἁλισκομένοις τοῖς σπασμοῖς καὶ τῷ πυρετ ῷ. πρὸς ὃ γὰρ ἐπιτηδειότερον εἶχεν ἕκαστος, ἐκεῖνο πρότερον ἐγίγνετο, μετ’ αὐτὸ δὲ ἠκολούθει τὸ δεύτερον. ἐχρόνιζον δ’ εἰκότως οἱ σπασμο ί, τοῦ δευτέρου φθινοπώρου πάλιν, περὶ οὗ κατὰ τὸ τέλος ἔγραψε τῆς ὅλης καταστάσεως, ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου γενομένου. Οἱ δὲ δὴ συνεχέες μὲν τὸ ὅλον καὶ οὐδὲν ἐκλείποντε c , παροξυνόμενοι δὲ πᾶσι τριταιοφυέα τρόπο ν , μίαν [ μὲ ν ] ὑποκουφίζοντες καὶ μίαν παροξυνόμενο ι , πάντων βιαιότα τοι τῶν τότε γενομένων καὶ μακρότατοι καὶ μετὰ πόνων μεγίστων γενόμενοι · πρηέως ἀρχόμενοι καὶ τὸ ὅλον ἐπιδιδόντες αἰεὶ καὶ παροξυνόμενοι 〈ἐν κρισίμοισι〉 καὶ ἀνάγοντες ἐπὶ τὸ κάκιο ν , σμικρὰ διακουφίζοντες καὶ ταχὺ πάλιν ἐξ ἐπισχέσεως βιαιοτέρως παροξυνόμενο ι , ἐν κρισίμοισιν ὡς ἐπὶ τὸ πολὺ κακούμενο ι . [5]

17a 119 ῥίγεα δὲ πᾶσιν ἀτάκτως καὶ πεπλανημένως ἐγίνετ ο , ἐλάχιστα δὲ καὶ ἥκιστα τούτοισι ν . Εἰ μὴ προσέγραψεν αὐτός, ὅπως οἱ τότε γενόμενοι πυρετοὶ 〈παροξυνάμενοι πᾶσι τριταιοφυέα τρόπον〉 τοὺς παροξυσμοὺς ἐποιοῦντο, μεγάλην ἂν ἡμῖν ἀπορίαν ὑπέλιπε ζητοῦσιν εὑρεῖν, τίνας ὀνομάζει τριταιοφυεῖς. ἐπεὶ δ’ αὐτὸς εἶπε τὸν τρόπον τῶν τριταιοφυῶν, οὐκέτι περὶ πράγματός ἐστιν ἡ ζήτησις, ἀλλὰ περὶ 〈τοῦ〉 σημαινομένου 〈πρὸς〉 τοῦ τριταιοφυὴς ὀνόματος. ἐπισυνάπτεται δὲ τούτῳ καὶ τὸ περὶ τοῦ τριταίου τε καὶ ἡμιτρι ταίου καὶ τῆς ἑκατέρων διαφορᾶς, ἀκριβοῦς τριταίου καὶ οὐκ ἀκριβοῦς, ἀλλ’ ἤτοι βραχύ τι παραυξηθέντος ἢ πλέον ἢ ἐπὶ πλεῖστον, ἄχρι τε πόσου τούτων ἕκαστος ἐκτείνεται καὶ τίς μὲν ὁ μέγας ἡμιτριταῖός ἐστι, τίς δ’ ὁ μέσος, τίς δ’ ὁ μικρός. [5]

17a 120 Ἀγαθίνῳ γοῦν ὅλον βιβλίον γέγραπται, 〈τοῦ Περὶ πυρετῶν τὸ〉 πρῶτον περὶ ἡμιτριταίων, τὸ σημαινόμενον νῦν ὑπὸ τῆς προσηγορίας ταύτης ἐπεξηγουμένῳ. ἐὰν δὲ καὶ τὰ τοῖς μεθοδικοῖς γεγραμμένα περὶ αὐτοῦ διέρχωμαι νῦν ἢ τὰ μετὰ ταῦτα ὑπ' Ἀρχιγένους οὐχ ἅπαξ, ἀλλὰ πλεονάκις ἐν πλείοσι πραγματείαις εἰρημένα, μετὰ τοῦ καὶ διακρίνειν, ὅσα καλῶς ἢ μὴ καλῶς εἰρήκασι, τρία μοι νομίζω βιβλία πληρωθήσεσθαι. τό γε μὴν εἰς τὰ τῆς τέχνης ἔργα χρήσιμον εἴρηται μὲν ἤδη κἀν 〈τοῖς Περὶ κρίσεων καὶ〉 τοῖς Περὶ τῶν πυρετῶν διαφορᾶς· εἰς δὲ τὰ παρόντα βέλτιόν ἐστι συνάψαι τὸ λελεγμένον εἶδος τοῦ πυρετοῦ τῇ καταστάσει. φησὶν οὖν αὐτὸς τῇ μὲν ἑτέρᾳ τῶν ἡμερῶν παροξύνεσθα ι, τῇ δὲ ἑτέρᾳ ὑποκουφίζεσθα ι. μετὰ γὰρ τῆς ὑπὸ προθέσεως γράψαντος αὐτοῦ τὸ ῥῆμα καὶ ἡμᾶς ἀκούειν προσῆκον ἕτερόν τι σημαινόμενον ἐκ τῆς συνθέτου φω νῆς παρὰ τὴν ἁπλῆν.

17a 121 τὸ μὲν γὰρ κουφίζεσθαι δύναιτ' ἄν τις ἀκούειν [τὴν] ἀξιόλογον ἔνδοσιν σημαίνειν τοῦ πυρετοῦ, τὸ δ' ὑποκουφίζεσθαι μετριωτέραν. οὐ μὴν διωρισμένως γε καὶ σαφῶς ἐδήλωσεν, εἴτε παρωξύνοντο τῇ ἑτέρᾳ τῶν ἡμερῶν οἱ οὕτω πυρέξαντες ἕτερον παροξυσμὸν ἐλάττονα τοῦ κατὰ τὴν προτεραίαν, εἴτε καὶ διαμένων ἐκεῖνος ἐκουφίζετο κατὰ τὴν δευτέραν. δοκεῖ γοῦν ἐμοὶ μᾶλλον ἐμφαίνειν ἡ λέξις ἕνα γενέσθαι τὸν διὰ τρίτης παροξυσμόν, ὑποκουφίζοντα κατὰ τὴν ὑστεραίαν. λέγει δὲ καὶ ῥίγη γενέσθαι τούτοις πεπλανημένω c, ὅπερ σημαίνει τὸ μὴ καθ' ἕκαστον παροξυσμόν, ἀλλ' ἐνίοτε, καὶ ταῦτα σμικρά, οὕτως δὲ καὶ ἱδρῶτας ὀλίγους, ἀλλὰ καὶ ψῦξιν ἀκρέων δυσεκθερμάντων, ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν ὠμῶν καὶ φλεγματικῶν χυμῶν σηπομένων γίνεσθαι τὸν τοιοῦτον πυρετόν, ἐπιμεμειγμένης αὐτοῖς ξανθῆς χολῆς. ὁ μὲν οὖν ἐπὶ μόνῃ τῇ τοιαύτῃ χολῇ συνιστάμενος ὀνομάζεται τριταῖος, ὁ δὲ καὶ τὸν ὠμὸν χυμὸν ἰσοσθενῆ προσλαβὼν ἀκριβὴς ἡμιτριταῖος γίνεται, πλεῖστος ἐν Ῥώμῃ γινόμενος, ὡς ἂν 〈πᾶσι τοῖς διαιτήμασι〉 τῶν κατὰ 〈ταύτην〉 τὴν πόλιν ἀν θρώπων οἰκειότατος ὤν.

17a 122 αὐτὸς μὲν οὖν φρικώδης τ' ἐστὶ καὶ μετὰ τῶν καλουμένων ἀναδιπλώσεων γίνεται, παροξυνόμενος οὐ μόνον τῇ προτέρᾳ τῶν ἡμερῶν, ἀλλὰ καὶ τῇ μετὰ ταύτην ἐλάσσονά τε τοῦ προγεγενημένου παροξυσμὸν ἧττόν τε φρικώδη καὶ τὴν ἐπανάληψιν ἤτοι γ' ἧττον ἢ οὐδ' ὅλως ἔχοντα. νυνὶ δὲ περὶ τοῦ διὰ τρίτης μὲν γινομένου, κουφίζοντος δὲ κατὰ [ταῦτα] τὴν ἑτέραν ἡμέραν ὁ λόγος ἐστίν, ὃς δόξει εἶναι ἐγγυτέρω τῆς τοῦ ἐπιπαροξυνομένου τριταίου φύσεως, πλέον ἀποκεχωρηκὼς τοῦ ἡμιτριταίου. μεγάλη γὰρ ἀπόστασις τό τε μὴ παροξύνεσθαι τῇ ἑτέρᾳ τῶν ἡμερῶν καὶ τὸ χωρὶς ἀναδιπλώσεως γίνεσθαι. καὶ τό γε μὴν σμικρὸν ῥῖγος ἐγγύς ἐστι τῇ φρίκῃ. καίτοι οὐδὲ τοῦτο συνεισβαλεῖν εἰσαεὶ τοῖς παροξυσμοῖς εἶπεν, ἀλλὰ πεπλανημένω c, εἰ μή τι ἄρα τὸ πεπλανημένως ἐπὶ μὲν τῶν ἄλλων πυρετῶν εἶπεν, ἐπὶ δὲ τῶν τριταιοφυῶν οὐκ εἶπεν. ἐλάχιστα δὲ καὶ ἥκιστα ῥίγη γενέσθαι τούτοις εἰπὼν τὴν φρίκην 〈μικρὰν〉 μὲν ἐδήλωσεν, οὐκ ἀφείλετο δὲ τελέως αὐτὰ τῶν παροξυσμῶν. ὅπως δ' ἄν σοι δοκῇ περὶ τούτων, πρόδηλον τοῦτό γε τοσοῦτόν ἐστιν, ὅτι οὗτος ὁ πυρετὸς εἰκότως εἴρηται τριταιοφυή c.

17a 123 οὔτε γὰρ ἡμιτριταῖός ἐστιν, ὡς ἂν μήτε τῇ δευτέρᾳ παροξυνόμενος ἀναδιπλώσεις τε μὴ ποιούμενος, οὔτε παρεκτεταμένος 〈τριταῖος〉, εἴ γε μηδ' ὅλως εἰς ἀπυρεξίαν τελευτᾷ. δίκαιον οὖν ἦν αὐτῷ τινα προσηγορίαν παρακειμένην ταῖς προειρημέναις προσειπεῖν. ἦν δ' ὑπόλοιπος εἰπεῖν οὐκέτ' οὐδεμία παρὰ τὴν τοῦ τριταιοφυοῦ c. τό γε μὴν ἐν κρισίμοις ὡς ἐπὶ τὸ πολὺ κακοῦσθαι τριταιοφυῶν ἴδιον, οὐ κοινὸν ἁπάντων ἐστίν. ἐμάθομεν δ' ἐν τοῖς Περὶ κρισίμων ἡμερῶν τοῖς κακοήθεσι νοσήμασι τοῦτο γινόμενον. Σμικρὰ διακουφίζοντες καὶ ταχὺ πάλιν ἐξ ἐπισχέσεως βιαιοτέρως παροξυνόμενο ι . Τῷ μεμνημένῳ τῶν εἰρημένων ἐν τοῖς Περὶ κρίσεών τε [καὶ κρισίμων] καὶ τοῖς Περὶ διαφορᾶς πυρετῶν οὐδὲν ἔτι δευτέρας ἀναμνήσεως δεῖται. δέδεικται γὰρ ἐν ἐκείνοις ὑπὲρ ἁπάντων τῶν τοιούτων, ὁποῖον καὶ τὸ νῦν εἰρημένον ἐστὶ τὸ 〈σμικρὰ〉 διακουφίζοντες 〈καὶ παροξυνόμενο ι .〉 οἱ γοῦν τοιοῦτοι πυρετοὶ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γένεσιν ἔχουσιν οὐκ ἐξ ἑνός, ἀλλ’ [καὶ] ἐκ πλειόνων χυμῶν, ὧν ὁ μὲν θερμότερος ἀνάπτει τὸν ὀξὺν πυρετὸν ἐν τάχει τε παύεται. [15]

17a 124 τούτου δὲ κατειληφότος τὸ σῶμα συμβαίνει διαφθείρεσθαί τε καὶ σήπεσθαι τοῖς ψυχροτέροις, εἶτ’ αὖθις ἀνάπτεσθαι πάλιν ἐκ τῆς γινομένης ἐπισχέσεως, ὅπερ ἐστὶν οἷον ἀναπαύσεως καὶ μειώσεως τοῦ πυρετοῦ. χείρων δὲ τοῦ πρόσθεν ὁ τοιοῦτος γίνεται πυρετός, ὡς ἂν προκεκμηκυῖαν ἤδη τὴν δύναμιν ἐκ τῶν ὀχληρῶν εὑρών. εὔδηλον γάρ, ὅτι, κἂν ἴσον ᾖ τῷ μεγέθει 〈τὸ ὀχληρόν〉, πολὺ γοῦν μεῖον ἐνοχλήσει τὰς μὲν ἰσχυροτέρας δυνάμεις, μᾶλλον δ’ 〈αὐ〉 τῶν τὰς ἀσθενεστέρας. 〈Ἀλ λ ’ ἐπὶ τῶν ἄλλων πυρετῶν μείζ ω .〉 Ἱδρῶτες πολλο ί . Δηλονότι τοῖς ἄλλοις πυρετοῖς 〈ἐπ〉 εφάνησαν ἱδρῶτες πολλο ί, δυνατὸν δὲ καὶ τοῖς ἄνευ πυρετοῦ πάθεσιν, οἷον τοῖς σπασμοῖς, ἱδρῶτας ἐπιφανῆναι πολλοὺς ἐκ τῆς ἠθροισμένης ἐν τῷ σώματι πολλῆς ὑγρότητος ψυχρᾶς διὰ τὴν κατάστασιν, ὑπὸ δὲ τῆς τοῦ σπασμοῦ βίας ἐκκρινομένης. [10]

17a 125 ἀλλὰ καὶ οἷς γέ τισιν ἔφη γενέσθαι 〈τὰ ῥίγη〉, τούτοις καὶ αὐτοῖς, ὡς εἰκός ἐστιν, ἱδρῶτες πολλο ί. Τουτέοισιν ἐλάχιστο ι , κουφίζοντες οὐδέ ν , ἀλ λ ’ ὑπεναντίως βλάβας φέροντε ς . Τούτοις φησὶ τοῖς πυρετοῖς, ὑπὲρ ὧν ὁ λόγος ἐστί, τοῖς τριταιοφυέσιν ἱδρῶτες 〈 ἐλάχιστοι 〉 συνήδρευον οὐδὲν ὠφελοῦντες. ἡ δ’ αἰτία πρόδηλος, ἀποδεδειχότων ἡμῶν 〈ἐν〉 ἀπέπτοις νοσήμασιν οὔτ’ ὠφελεῖν τοὺς ἱδρῶτας οὔτ’ ἀγαθὸν εἶναι σημεῖον· ἢ γὰρ πλεονεξίαν ὑγρῶν ἢ ἀρρωστίαν δυνάμεως ἐνδείκνυνται. Ψῦξις πολλὴ τῶν ἀκρέων καὶ μόλις ἀναθερμαινόμεν α . Καὶ διὰ φλεγμονὴν μὲν ἀξιόλογον σπλάγχνων ἐν τοῖς παροξυσμοῖς δυσεκθέρμαντα γίνονται τὰ ἄκρα καὶ διὰ πλῆθος δὲ ψυχρῶν χυμῶν, ὡς ἀπεδείξαμεν ὑπὲρ ἀμφοτέρων ἐν ταῖς προειρημέναις πραγματείαις. [11]

17a 126 Οὐδὲ ἄγρυπνοι τὸ σύνολο ν , μάλιστα δ ’ οὗτοι 〈καὶ〉 πάλιν κωματώδεε ς . [καὶ πάλιν] Ἀγρύπνους μὲν αὐτούς φησι γεγονέναι μᾶλλον ἐν μέρει, οὐ μὴν τὸ σύνολόν γε ἦν τούτοις οὐδ’ ἡ ἐναντίωσις σφοδρά. φησὶ γὰρ αὐτοῖς ἐν μέρει καὶ τὸ κωματῶδες σύμπτωμα γεγονέναι. τοῦτο δ’ ἐστίν, ὅταν καταφέρωνται μὴ δυνάμενοι τὰ τῶν ἐγρηγορότων πράττειν, ὡς ἀπεδείξαμεν. Κοιλίαι δὲ πᾶσι ταραχώδεες καὶ κακα ί , πολὺ δὲ τούτοισι κάκιστα ι . Τῆς περιουσίας τῶν χυμῶν εἰς τὴν γαστέρα ῥεούσης, ὡς ἔμπροσθεν εἶπον, εἰκὸς ἦν ταραχώδεις γενέσθαι κοιλία ς. [13]

17a 127 τούτοις οὖν τοῖς τριταιοφυέσιν, ὑπὲρ ὧν ποιεῖται τὸν λόγον, ὡς ἂν 〈οὖσι〉 κακοηθεστέροις τῶν ἄλλων νοσημάτων, ἀναγκαῖον ἦν 〈τοὺς κάμνοντας〉 καὶ κατὰ τὴν γαστέρα χείρους γενέσθαι. Οὖρα δὲ τοῖσι πλείστοισι τούτων ἢ λεπτὰ καὶ ὠμὰ καὶ ἄχρω καὶ μετὰ χρόνον σμικρὰ πεπαινόμενα κρισίμως ἢ πάχος μὲν ἔχοντ α , θολερὰ δὲ καὶ οὐδὲν καθιστάμεν α , οὐδὲ ὑφιστάμεν α , ἢ σμικρὰ καὶ κακὰ καὶ ὠμὰ τὰ [ δ ὲ ] ὑφιστάμεν α , καὶ κάκιστα ταῦτα πάντω ν . Ἃ καθόλου διὰ τοῦ Προγνωστικοῦ γράμματος ἐδίδαξε, ταῦτα μὲν νῦν ὡς ἐπὶ παραδειγμάτων διὰ τῶν κατὰ μέρος πιστοῦται· προεξηγησάμενοι δὲ 〈τὰ〉 κατὰ τὸ Προγνωστικὸν οὐδὲν ἔτι δεόμεθα περὶ τῆς συμφωνίας τούτων πρὸς ἐκεῖνα λέγειν ἐναργῶς φαινομένης· ἐδείχθη γὰρ ἡμῖν ἐν ἐκείνοις ὠμῶν καὶ ἀπέπτων χυμῶν σημεῖα τὰ τοιαῦτα. [11]

17a 128 Βῆχες δὲ παρείποντο τοῖς πυρετοῖς ι . 〈γράψαι δὲ οὐκ ἔχω βλάβην οὐ δ ’ ὠφελείην γενομένην διὰ βηχὸς τότ ε .〉 *** τῆς πλεονεξίας τῶν χυμῶν ἐκκαθαιρομένης εἰώθασιν αἱ βῆχες συμφέρειν. Χρόνια μὲν οὖν καὶ δυσχερέα καὶ πάνυ ἀτάκτως καὶ πεπλανημένως καὶ ἀκρίτως τὰ πλεῖστα τούτων διετέλει γινόμενα καὶ τοῖσι πάνυ ὀλεθρίως ἔχουσι καὶ τοῖσι μ ή . εἰ γάρ τινας αὐτέων διαλίποι σμικρ ά , ταχὺ πάλιν ὑπέστρεφε ν . ἔστι δ ’ οἷσιν ἔκρινεν αὐτῶν ὀλίγοισι ν , οἷσι τὰ βραχύτατα γένοιτ ο , περὶ ὀγδοηκοστὴν ἐοῦς ι , καὶ τούτων ἐνίοις ὑπέστρεψε ν , ὥστε κατὰ χειμῶνα τοὺς πλείστους αὐτῶν ἔτι νοσεῖ ν . [10]

17a 129

τοῖσι δὲ πλείστοισιν ἀκρίτως ἐξέλειπε ν . Εὔδηλόν ἐστιν ὅτι τοῦ δευτέρου χειμῶνος μέμνηται νῦν οὗτος, οὐ τοῦ προτέρου κατὰ τὴν ἀρχὴν αὐτῷ λελεγμένου τῆς ὅλης καταστάσεως. ἅπαντα γὰρ ταῦτα τὰ νοσήματα, περὶ ὧν ὁ λόγος αὐτῷ νῦν ἐστιν, ἤκμασε μάλιστα καὶ κατὰ τὸ δεύτερον φθινόπωρον, εἶτα τινὰ μὲν αὐτῶν ἐπαύσατο χειμῶνος ἀρχομένου, τινὰ δὲ καὶ μέχρι πλείονος ἐπετάθη. τὸ δ’ ἄτακτον αὐτῶν καὶ ὑποστροφῶδες ἐπὶ τῇ ψυχρότητι δηλονότι καὶ τῷ πλήθει τῶν ἐργαζομένων τὰ νοσήματα χυμῶν εἰκότως ἀπήντησε, διὸ καὶ συμπεσεῖν 〈φησιν〉 ὁμοίως αὐτὰ τοῖς περιγενομένοις 〈καὶ τοῖς οὔ 〉 . Ὁμοίως δὲ ταῦτα συνέπιπτε τοῖς περιγενομένοισι καὶ τοῖσιν ο ὔ . πολλῆς δέ τινος γινομένης ἀκρισίης 〈καὶ〉 ποικίλης ἐπὶ τῶν νοσημάτων καὶ μεγίστου μὲν σημείου καὶ κακίστου διὰ τέλεος παρεπομένου τοῖς πλείστοις ἀποσίτοις εἶναι πάντων γευμάτω ν , μάλιστα δὲ τούτω ν , οἷσι καὶ τὰ ἄλλα ὀλεθρίως ἔχο ι , διψώδεες [ δ ὲ ] οὐ λίην ἀκαίρως ἦσαν ἐπὶ τοῖσι πυρετοῖσι τούτοισι ν . [5]

17a 130 Ὅτι τὸ “ἐρρῶσθαι τὴν διάνοιαν καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς ἀγαθόν” 〈ἐστι〉 μέγιστον ἑτέρωθι πρὸς αὐτοῦ λέλεκται κἀν 〈τῷ〉 καθόλου καὶ νῦν καὶ διά τινος τῶν κατὰ μέρος παραδείγματος ἐπιστώθη. τὸ δὲ μὴ λίαν αὐτοὺς διψώδεις εἶναι τῇ ποιότητι τῶν πλεοναζόντων χυμῶν εἰκότως ἠκολούθησεν. Γενομένων δὲ χρόνων μακρῶν καὶ πόνων πολλῶν καὶ κακῆς συντήξεω ς , ἐπὶ τούτων ἀποστάσιες ἐγίνοντο ἢ μείζου ς , ὥστε ὑποφέρειν μὴ δύνασθα ι , ἢ μείου ς , ὥστε μηδὲν ὠφελέ ει ν , ἀλλὰ ταχὺ παλινδρομέειν καὶ ξυνεπείγειν ἐπὶ τὸ κάκιο ν . [11]

17a 131 Ὅταν τὸ πλῆθος ᾖ πολὺ χυμῶν ἀπέπτων, αἱ ἀποστάσεις γίνοντα ι· εἰ μὲν σμικραὶ εἶεν αἱ ἀποστάσεις, οὐδὲν ὠφελοῦσιν, εἰ δὲ μεγάλαι, φέρειν αὐτὰς ἡ δύναμις οὐ δύναται. ὅτι δὲ καὶ νῦν τὰς κατ’ ἔκρουν κενώσεις ἀποστάσεις ὀνομάζει, διὰ τῆς ἐπιφερομένης ῥήσεως σαφῶς ἐδήλωσεν. Ἦν δὲ τούτοισι τὰ γινόμενα δυσεντεριώδεα καὶ τεινεσμο ί , καὶ λειεντερικοὶ καὶ ῥοώδεε ς , ἔστι δ ’ οἷσι καὶ ὕδρωπες μετὰ τούτων καὶ ἄνευ τούτω ν . [εὖ φησιν] Ἃς διὰ τῆς προγεγραμμένης ῥήσεως ἐν τῷ καθόλου γεγονέναι φησὶν ἀποστάσεις, ταύτας νῦν διεξέρχεται κατὰ μέρος. προείρηται δ’ ἡμῖν ἐν τοῖς ἔμπροσθεν εἰκότως γενέσθαι τὰ τοιαῦτα νοσήματα, τῶν περιττωμάτων εἰς τὴν γαστέρα συρρεόντων, τὰς μὲν δυσεντερίας δηλονότι μετὰ τῶν αἱματωδῶν διαχωρημάτων καθ’ ὁντιναοῦν τρόπον γενομένας, τοὺς δὲ τεινεσμοὺς τάσεις ὄντας σφοδρὰς ἐπὶ τῆς κατὰ τὸ ἀπευθυσμένον ἑλκώσεως, τὰς δὲ λειεντερίας ταχείας διεξόδους ἀμεταβλήτων σιτίων οὔσας. [5]

17a 132 ῥοώδεις δὲ λέγει τοὺς χωρὶς τούτων τῶν εἰρημένων παθημάτων διαχωροῦντας ἀεί τε καὶ συνεχῶς ὑγρὰ διαχωρήματα. τοῖς δὲ καὶ εἰς 〈τὸ μεσεντέριον τοὺς〉 ὑδέρους ὀξεῖς φησι κατασκῆψαι διὰ τὴν πλεονεξίαν τῶν ψυχρῶν καὶ ὑγρῶν χυμῶν, ἐνίοις μὲν μετὰ τῶν προειρημένων συμπτωμάτων, ἐνίοις δὲ 〈ἄνευ〉 τούτω ν. Ὅτι δὲ παραγένοιτο τούτων βιαίω ς , ταχὺ συνῄρει ἢ πάλιν ἐπὶ τὸ μηδὲν ὠφελεῖ ν . Τὰ διὰ δυσπεψίαν καὶ πλῆθος τῶν ὠμῶν χυμῶν γιγνόμενα νοσήματα πρὸς τῶν ἐκκρίσεων οὐδὲν ὠφελεῖτα ι. [12]

17a 133 ἔφη γὰρ τὰς μὲν πολλὰς 〈καὶ〉 βιαίους ταχὺ καθαιρεῖν τὴν δύναμιν, τὰς δὲ μὴ τοιαύτας οὐδὲν ὀνήσειν, οὐσῶν δὲ καὶ τούτων διττῶν οὐδὲν ὠφελήσουσιν αἱ χωρὶς τοῦ πεφθῆναι, [ἅτε καὶ τούτων ἔτι πολλῶν οὐδὲν ὠφελήσει τι χωρὶς τοῦ πεφθῆναι]. Ἐξανθήματα σμικρὰ καὶ οὐκ ἀξίως τῆς περιβολῆς τῶν νοσημάτων καὶ ταχὺ πάλιν ἀφανιζόμεν α . Κεφάλαιον ἁπάντων τῶν γενομένων παθημάτων ἡ τῶν χυμῶν ἦν ἀπεψία. εἰ δὲ καί που βιασαμένη τινὰς αὐτῶν ἡ φύσις ἐκκρίνειν ἐπεχείρησεν, οὐδὲν ἤνυσεν, ἀλλ’ ἡττηθεῖσα πρὸς αὐτῶν ἢ ἐπέτρεψεν αὐτίκα παλινδρομῆσαι πρὸς τὸ βάθος ἢ δι’ ὀλιγότητα τῶν γενομένων ἐκκρίσεων εἰς ἀπόστασιν ὥρμησεν. 〈Παρὰ δὲ τὰ ὦτα οἰδήματα νωθρευόμενα μὴ λυόμενα καὶ οὐδὲν ἀποπέσσοντ α .〉 *** 〈Ἐς ἄρθρ α , μάλιστα δὲ κα τ ’ ἰσχίο ν , ὀλίγοισι κρισίμως ἀπολιπόντα καὶ ταχὺ πάλιν ἐπικρατούμενα ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξι ν .〉 *** τοῖς πλείστοις ἐπεγένετο κατὰ 〈τὸ〉 ἰσχίο ν. ὅτι μὲν οὖν 〈τοῖς πολλοῖς οὔθ’ ἡ κρίσις οὔθ’〉 ἡ κατ’ ἀπόθεσιν ἀπόστασις ἐν τοῖς χρονίοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μάλιστα νοσήμασι γίγνεται, καὶ ἑτέρωθι τοῦδε τοῦ συγγράμματος παρ’ αὐτοῦ μεμαθηκότες ἐκ τοῦ καθόλου καὶ νῦν ἐκ τοῦ κατὰ μέρος τούτου μαρτυρούμενον ἕξομεν. διὰ δὲ τὸ πολλὴν εἶναι τὴν περιουσίαν τῶν ὠμῶν καὶ ψυχρῶν καὶ ἀπέπτων χυμῶν εἰς τὸ μέγιστον τῶν ἄρθρων 〈τοῖς〉 πολλοῖς ἀπέσκηψεν, ἀλλ’ οὐκ ἐκρίνοντο διὰ τὸ δύσπεπτον τῶν χυμῶν. εἰ δέ τινι καὶ ἔδοξε λωφῆσαι, ταχὺ πάλιν ὑπέστρεφε (τοῦτο γάρ ἐστι τὸ δηλούμενον 〈ὑπὸ τοῦ〉 ἀπολιπόντ α) τὰ οἰδήματα, τῆς ἄνω φορᾶς γεγονυίας, ὑποστρέψαντα δὲ πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν ἀνέσκαψε· καὶ γὰρ καὶ τοῦτο δηλοῦται πρὸς αὐτοῦ διὰ τοῦ φάναι· καὶ ταχὺ πάλιν ἐπικρατούμενα ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξι ν. Ἔθνῃσκον δὲ 〈ἐκ〉 πάντων μέ ν , πλεῖστοι δὲ 〈ἐκ〉 τούτω ν , 〈καὶ τούτων〉 παιδί α , ὅσα ἀπὸ γάλακτος ἤδ η , καὶ πρεσβύτερ α , ὀκταετέα καὶ δεκαετέ α , καὶ ὅσα πρὸ ἥβης [ ἦσα ν] . Τῆς καταστάσεως ἐπικρατοῦν ἐσχηκυίας μάλιστα τὸ ὑγρὸν (ἐπὶ πλεῖστον γὰρ τοῦτο τοῦ κατὰ φύσιν ἐξετράπετο) τῆς 〈τε〉 κατὰ θερμότητα καὶ ψυχρότητα συμμετρίας 〈ἐπ’ ὀλίγον *** 〉 ὄντες ψυχροὶ καὶ ξηροί. *** δέδεικται γὰρ ἡμῖν ἑτοιμότερον πάσχειν 〈ἔχοντα〉 τὰ σώματα πρὸς ἐκείνων τῶν αἰτίων, ὅσα συγγενῆ ταῖς δυσκρασίαις αὐτῶν ἐστιν. Μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γενομένων σημείων καὶ πλείστους ἐρρύσατο τῶν ὄντων ἐπὶ τοῖσι μεγίστοισι κινδύνοισι ν , οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο καὶ ἐς τοῦτο ἀποστάσεις ἐγίνοντ ο . Εἰρήκει καὶ πρόσθεν “στραγγουριώδη 〈μέν, οὐ〉 νεφριτικὰ” τούτοις γενέσθαι συμπτώματα καίπερ ἔχοντά τινα κοινωνίαν, “ἀλλ’ ἄλλα ἀντ’ ἄλλων”. [47]

17a 137 καὶ ἡμεῖς ἔφαμεν ἐκκαθαι ρομένου τοῦ σώματος ὅλου τὰ περιττώματα διὰ τῶν νεφρῶν τὴν στραγγουρίαν αὐτοῖς γενέσθαι, γενομένην μὲν καὶ ἄλλως, μάλιστα δὲ διὰ δριμύτητα τῶν συρρεόντων οὔρων, ἐφ’ ᾗ καὶ νῦν 〈ἡ τῆς στραγγουρίας 〉 αἰτία συνέστη. μεμνῆσθαι δὲ χρὴ πάλιν, ὅτι καὶ νῦν ἀποστάσεις ἐπὶ στραγγουρίαν ἔφη γεγονέναι, καίτοι κατ’ ἔκρουν, οὐ κατ’ ἀπόθεσιν τῶν λυπούντων χυμῶν ἀποχωρησάντων ὅλου τοῦ σώματος. ὥσπερ γὰρ διὰ γαστρὸς πολλάκις ἐκκαθαίρεται τὸ σύμπαν σῶμα, οὕτω καὶ διὰ νεφρῶν καὶ κύστεως. 〈Συνέπιπτε δὲ καὶ τὸ στραγγουριῶδες τῇσιν ἡλικίῃσι ταύτῃσι γίνεσθαι μάλιστ α .〉 *** *** Χρόνια δὲ τούτοισι τὰ κατὰ τὴν στραγγουρίαν καὶ ἐπιπόνω c . Ἐξεκαθαίρετο μὲν ὅλον τὸ σῶμα διὰ τῆς στραγγουρία c. ταῦτα δ’ ἀναγκαῖον ἦν πάσχειν τὰ μόρια, δι’ ὧν ἡ ἔκκρισις ἐγίγνετο τῶν δριμέων χυμῶν, δηλονότι δακνόμενα καὶ τῷ συνεχεῖ τῆς ἀποκρίσεως ἐνοχλούμενα, διόπερ καὶ ἐπιπόνως εἶχον ἐν αὐτῇ τῇ διόδῳ τῶν οὔρων. χρόνῳ δ’ αὐτοῖς πλείονι τὰ τοιαῦτα συμπτώματα ἐγίνετο διὰ τὸ πλῆθος τῶν ἐκκαθαιρομένων περιττωμάτων. Οὖρα δὲ τούτοισιν ἤει πολλὰ παχέ α , ποικίλα καὶ ἐρυθρά [ ἐστι ν] , μειξόπυα με τ ’ ὀδύνη c . [20]

17a 138 Ταῦτα πάντα τοῦ παντὸς σώματος ἀποτιθεμένου τὴν περιουσίαν τῶν μοχθηρῶν χυμῶν ἐγένετο, διὸ καὶ πάντες ἐσώθησαν. ποικίλης δ’ οὔσης αὐτῆς, ὡς ἔμπροσθεν ἔφαμεν, (ἄλλο γὰρ ἄλλῳ τὸ πλεονάζον ἦν,) εἰκότως κἀν τοῖς οὔροις ἐγένετο ποικιλία, οὐχ ἅπασιν ὁμοίων γιγνομένων αὐτῶν, ἀλλὰ τοῖς μὲν τούτων, τοῖς δὲ τούτων. Περιεγένοντο δὲ πάντες οὗτοι καὶ οὐδένα τούτων οἶδα ἀποθανόντ α . ὅσα διὰ κινδύνων .. . Διὰ τί μὲν περιεγένοντο, προείρηται, ἐξε〈καθ〉άρθησαν δὲ διὰ τῶν οὔρων. τὸ δ’ ὅσα διὰ κινδύνων ἔστιν 〈οἳ〉 [ἔνιοι] τῆς ἐχο μένης λέξεως προτάττουσιν, ἔνθα καὶ τὴν ἐξήγησιν αὐτοῦ ποιησόμεθα. [10]

17a 139 μετὰ τὴν δευτέραν κατάστασιν *** Πεπασμοὺς τῶν ἀπιόντων πάντας πάντοθεν ἐπικαίρους ἢ καλὰς καὶ κρισίμους ἀποστάσιας σκοπέεσθα ι . Ἔνιοι δὴ τὸ πέρας τῆς προγεγραμμένης καταστάσεως ἀρχὴν ἐποιήσαντο τῆς νῦν προκειμένης διηγήσεως, ὡς ἔχειν αὐτὴν οὕτως· Ὅσα διὰ κινδύνω ν , πεπασμοὺς τῶν ἀπιόντων πάντας πάντοθεν ἐπικαίρους ἢ καλὰς καὶ κρισίμους ἀποστάσιας σκοπεῖσθα ι, ἵνα ἡ διάνοια τοῦ λόγου τοιαύτη τις εἴη· “ὅσα διὰ κινδύνων προέρχεται πάθη, σκεπτέον ἐπ’ αὐτῶν ἐστι τοὺς πεπασμούς”· ἐγχωρεῖ γε μὴν καὶ αὐτὴν καθ’ ἑαυτὴν ἀναγινώσκειν τὴν προκειμένην ῥῆσιν, ἵν’ ὁ λόγος ᾖ περὶ πάντων ἁπλῶς νοσημάτων

αὐτῷ καθόλου λεγόμενος 〈ὡς αὐτῶν μηδέποτε τελευτών〉 των χωρὶς πεπασμο ῦ. πέψις γάρ τίς ἐστι τῶν παρὰ φύ σιν ὁ πεπασμὸς τοῦ νοσήματος, αὕτη δὲ ἡ πέψις εἰς τὴν τοῦ πέττοντος οὐσίαν ἀγωγή τίς ἐστι τοῦ πεττομένου.

17a 140 κατὰ φύσιν μὲν οὖν ἔχοντος τοῦ σώματος, ὅταν καὶ τὸ πεττόμενον οἰκείαν ἔχῃ φύσιν τῷ πέττοντι, μεταβολὴ καὶ ἀλλοίωσις ἁπάσης τῆς πεττομένης οὐσίας ἢ τοῦ πλείστου μέρους αὐτῆς γίνεται, βραχυτάτου περιττεύοντος ἡμῖν ἡμιπέπτου. παρὰ φύσιν δὲ διακειμένων 〈τῶν σωμάτων〉, ὅπερ ἐστὶν ἀλλοτρίων ὑπαρχόντων τῇ τοῦ μεταβάλλοντός τε καὶ ἀλλοιοῦντος φύσει, τὸ μὲν ἐξομοιούμενον ὀλίγον γίνεται, τὸ δ' ἡμίπεπτον περίττωμα πολύ. καθάπερ δ' ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων σωμάτων τὰ περιττώματα τὴν πέψιν ἐνδείκνυται, κατὰ τὸν αὐτὸν τρόπον 〈καὶ〉 ἐπὶ τῶν νοσούντων σωμάτων ἐνδείξεται. τῶν μὲν οὖν κατὰ τὴν γαστέρα τὰ περιττώματα κάτω διαχωρούμενα τὴν ἀπεψίαν τε καὶ πέψιν ἐκ τῆς ἑαυτῶν ἰδέας ἐνδείκνυται, τῶν δὲ κατὰ θώρακα καὶ πνεύμονα τὰ μετὰ βηχὸς ἀναγόμενα, τῶν δὲ κατὰ τὸν ἐγκέφαλον τὰ διὰ τῆς ῥινὸς ἐκκρινόμενα, τῶν δὲ κατὰ τὰς φλέβας τὰ μετὰ τῶν οὔρων ἀπερχόμενα. δέδεικται δὲ περὶ τούτων ἔν τε τοῖς Περὶ φυ σικῶν δυνάμεων ὑπομνήμασι καὶ ἐν τοῖς Περὶ κρίσεων λόγοις, οὐχ ἥκιστα δὲ κἀν τοῖς Περὶ τῶν ἐν 〈ταῖς〉 νόσοις καιρῶν, ἐν οἷς γέγραπται τῶν πεττομένων νοσημάτων τὰ γνωρίσματα.

17a 141 καὶ νῦν οὖν ὁ Ἱπποκράτης αὐτὸ τοῦτό γε κελεύει πράττειν, ἐπισκοποῦντας τοὺς πεπασμοὺς τῶν νοσημάτων ἐκ τῶν ἐκκρινομένων περιττωμάτων. ἔνιοι δὲ κατὰ τὸ πέρας τῆς ῥήσεως ἀντὶ τοῦ σκοπεῖσθαι γράφουσι "ποιέεσθαι", πρακτικόν τινα καὶ θεραπευτικὸν καὶ συμβουλευτικὸν εἶναι βουλόμενοι τὸν λόγον, οὐ διαγνωστικόν. εἰ μὲν γὰρ σκοπεῖσθαι τοὺς πεπασμοὺς κελεύει, διαγνωστικός τε καὶ προγνωστικὸς ὁ λόγος ἐστίν· εἰ δ' αὖ "ποιεῖσθαι", θεραπευτικός ἐστιν. εὔδηλον δ' ὅτι πεπασμοὺς ἐργάζεται τὰ συμμέτρως θερμαίνοντα πάντα, τοῦτο μὲν ἐδέσματα 〈καὶ πόματα〉, τοῦτο δὲ καταντλήματα καὶ καταπλάσματα, καὶ τρίψις δὲ μετρία καὶ λουτρὸν 〈καὶ ἅτινα〉 ἐκ τούτου τοῦ γένους ἐστίν. εἴρηται δ' αὐτῶν πάντων ἡ κατὰ μέρος χρῆσις ἐν τοῖς Τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. οὐ μόνον δὲ πεπασμοὺς τῶν νοσημάτων σκοπεῖσθαι προσῆκον ἢ ποιεῖν αὐτούς (ἑκάτερον γὰρ ἀληθές), ἀλλὰ καὶ τὰς ἀποστάσεις τὰς κατ' ἔκρουν, ὅπερ καὶ μάλιστα χρὴ σπουδάζειν, ἤτοι τὰς κατ' ἀπόθεσιν εἰς ἀκυρότερα μέρη· δεύτερος γὰρ οὗτος σκοπὸς ἀποτυγχανομένου τοῦ κατ' ἔκρουν.

17a 142 εἰ μὲν οὖν ἐπὶ γαστέρα ῥέποι τὰ περιττώματα ταῦτα, συνεργεῖν προσήκει κλύσμασί τε χρώμενον ἐπισπᾶσθαι δυναμένοις ἐνταῦθα καὶ τοῖς κατὰ τὴν δίαιταν πᾶσαν εἰς τοῦτο συντελοῦσιν, εἰ δ' ἐπὶ νεφρούς, τοῖς οὐρητικοῖς, εἰ δὲ ἐπὶ κῶλον, ἐκεῖνο θερμαίνοντα διὰ τῶν δριμυτέρων φαρμάκων. Πεπασμοὶ ταχυτῆτα κρίσεως καὶ ἀσφάλειαν ὑγιεινὴν σημαίνουσι ν . Ἐπὶ τῆς προγεγραμμένης ῥήσεως ἔφην ἐνίους μὲν σκοπεῖσθαι τοὺς πεπασμοὺς ἀξιοῦν, ἐνίους δὲ καὶ ποιεῖσθαι καὶ γράφειν ἑκατέρους τὸ τέλος τῆς ῥήσεως διττῶς, ἐξηγουμένους τοὺς μὲν ἑτέρους 〈αὐτοὺς προσήκειν〉 σκοπεῖσθαι τοῖς ἰατροῖς, τοὺς δὲ ἑτέρους ποιεῖσθαι. χρησίμως δ' ἔφην ἑκάτερον ἀσκεῖσθαι τοῖς ἰατροῖς, ὥστε, κἂν 〈τὸ〉 "σκοπεῖσθαι" γεγραμμένον ᾖ, πάντως ἀκολουθεῖν αὐτῷ καὶ τὸ ποιεῖσθαι.

17a 143 μιμητὴν γὰρ ἅμα καὶ ὑπηρέτην ὁ Ἱπποκράτης ἀξιοῖ τὸν ἰατρὸν εἶναι τῆς φύσεως. ὅτι μέντοι βέλτιόν ἐστι γράφειν ἐπὶ τῆς προτέρας ῥήσεως τὸ "σκοπεῖσθαι", δῆλον ἐποίησε κατὰ τήνδ' εἰπὼν τοὺς πεπασμοὺς σημαίνειν ταχυτῆτα κρίσεως καὶ ἀσφάλειαν ὑγιεινή ν. οὐδὲ γὰρ ἂν ἔφησε σημαίνουσι ν, ἀλλὰ "ποιέουσιν", εἰ συνεβούλευσε τοῖς ἰατροῖς αὐτοῖς ἐργάζεσθαι τοὺς πεπασμού ς. ἀλλὰ τοῦτο μὲν ἐν οἷς θεραπεύει τὰ νοσήματα 〈βιβλίοις〉 συμβουλεύει. νῦν δὲ κατὰ τὴν τῶν Ἐπιδημιῶν πραγματείαν εἰς διαγνώσεις αὐτὸς καὶ προγνώσεις ἐπανατείνει, συνεμφαινομένης μὲν ἐν τῷ καθόλου καὶ τῆς θεραπευτικῆς ὁδοῦ, μὴ μέντοι λεγομένης. ὅτι δὲ συνεμφαίνεται δῆλον· εἰ γὰρ ἀξιοῖ τὰ καλῶς ὑπὸ τῆς φύσεως γινόμενα μιμεῖσθαι τὸν ἰατρόν, οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεπασμοὶ δὲ ἔργον αὐτῆς εἰσιν, εὔδηλον ὅτι καὶ τάχος κρίσεως καὶ ἀσφάλειαν καὶ ὑγείαν δηλώσουσι, καὶ ἡμεῖς δὲ συνεργοῦντες αὐτοῖς ἐργασόμεθα πεπασμού ς. Ὠμὰ δὲ καὶ ἄπεπτα 〈καὶ〉 ἐς κακὰς ἀποστάσιας τρεπόμενα ἢ ἀκρισίας ἢ πόνους ἢ χρόνους ἢ θανάτους ἢ τῶν αὐτῶν ὑποστροφά ς . [16]

17a 144 Ὥσπερ οἱ πεπασμοὶ γίνονται τῆς φύσεως κρατούσης τῶν νοσωδῶν αἰτίων, οὕτω καὶ μὴ κρατούσης τὰ ἐναντία. τῷ μὲν οὖν ἐπὶ τῶν πεπασμῶν εἰρημένῳ “ταχυτῆτα κρίσεως” ἐναντίον ἐστὶ τὸ χρονίζειν τὰ νοσήματα, τῷ δ’ ἐπ’ ἐκείνοις “ἀσφάλειαν” ἀντίκειται τό τε [τῆς] ἀκρισίας καὶ τὸ [τοῦ] θανάτους καὶ τὸ τῶν αὐτῶν ὑποστροφά ς, τῷ δ’ ἐπ’ ἐκείνοις ὑγιεινὴν κοινῇ μὲν σύμπαντα τὰ νῦν εἰρημένα, [καὶ] κατὰ μέρος δὲ τὸ πόνου ς. τὰ γὰρ ὑγιαίνοντα σώματα τὴν εἴτ’ ἀπονίαν εἴτ’ ἀνωδυνίαν εἴτ’ ἀοχλησίαν ἐθέλοις ὀνομάζειν, ἴδιον ἀχώριστον ἔχει. τὸ δὲ τῆς ἀκρισίας ὄνομα μέμνησθε δήπου λεγόμενον ὑπ’ αὐτοῦ διττῶς, ὡς ἤτοι μηδ’ ὅλως ἐσομένης κρίσεως ἢ μοχθηρᾶς ἐσομένης, κατ’ ἄμφω τε ταῦτα τὰ σημαινόμενα ταῖς ἀπεψίαις τῶν νοσημάτων ἀκολουθοῦσιν αἱ ἀκρισία ι. [10]

17a 145 〈καὶ〉 μέμνησθε δέ, ὡς ἡ ὅλη πέψις τοῦ νοσήματος ἐν τῇ τῶν χυμῶν ἀλλοιώσει γίνεται. διά τε γὰρ τῶν στερεῶν σωμάτων ἡ φύσις διατέταται δύναμις ἐκείνων οὖσα καὶ τὸ πέττεσθαι τοῖς χυμοῖς ὑπὸ τῶν στερεῶν ὑγιαινόντων γίνεται, ὡς, ὅταν γε καὶ αὐτὰ ταῦτα νοσῇ, καθ’ ἕξιν μὲν ἤδη τὸ νόσημα τοῦτο καὶ κίνδυνον ἔσχατον ἔστιν οἷς ἐπάγει. θεραπευθῆναι δ’ οὐ δύναται, πρὶν αὐτὰ τὰ στερεὰ σώματα τὴν οἰκείαν ἀνακτήσασθαι δύναμιν, ἥτις ἐν συμμετρίᾳ κεῖται θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ. διὸ καί 〈τις ἂν λέγοι〉 τὴν ὑγείαν αὐτῶν τῶν στερεῶν σωμάτων ἐν τῇ τούτων συμμετρίᾳ τὴν ὕπαρξιν ἔχειν, ὡς μηδὲν διαφέρειν, ἢ εὐκρασίαν 〈τῶν〉 ὁμοιομερῶν φάναι 〈σωμά〉 των εἶναι τὴν ὑγείαν ἢ συμμετρίαν τῶν στοιχείων, ἐξ ὧν γεγόναμεν. ὅπως δὲ χρὴ τὰς αὐτῶν τῶν στερεῶν σωμάτων νόσους ἰάσασθαι, λέλεκται διὰ τῶν Τῆς θεραπευτικῆς μεθόδου βιβλίων. ἅπαντα δ’ ἐν πᾶσιν οὐκ ἐγχωρεῖ λέγειν· ἀρκεῖ γὰρ μόνον ἐνταῦθα τῶν παραπιπτόντων θεραπευτικῶν λογισμῶν ἐπισημαίνεσθαι τὰ κεφάλαια, καθάπερ ἐν τοῖς θεραπευτικοῖς τῶν διαγνωστικῶν. [15]

17a 146 τὸ μὲν γὰρ ἴδιον ἑκάστης πραγματείας χρὴ τελέως διεξέρχεσθαι, τὸ δὲ παραπῖπτον ἐπισημαίνεσθαι διὰ κεφαλαίων. Ὅ τι δὲ τουτέων ἔσται μάλιστ α , σκεπτέον ἐξ ἄλλω ν . Νῦν ἀναμιμνήσκει τῆς προγνωστικῆς τέχνης καὶ ὧν ἐδίδαξεν ἐν τῷ Προγνωστικῷ συγγράμματι. τῶν γὰρ προειρημένων ἕκαστον 〈γνωστέον〉 ἐκ τῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένων καὶ ἡμεῖς ἐξηγησάμεθα διὰ [τῶν] τριῶν ὑπομνημάτων καὶ κατά γε τὸ τέλος δέδεικται τὰ τῶν Ἐπιδημιῶν ἑπόμενα τῷ Προγνωστικῷ. καὶ πρὸς τούτοις δέ, 〈πρὸ〉 τοῦ γραφῆναι τὰ εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήματα, διὰ τῶν Περὶ κρίσεων [ὧν] εἴρηντο προγνώσεις ὀλεθρίου καὶ ἐπιεικοῦς νοσήματος, αἵτινές τε προθεσμίαι τῶν κρίσεών εἰσιν ἐφ’ ἑκάστῳ καὶ τίνες μὲν ἀγαθαὶ κρίσεις, τίνες δὲ σφαλεραί, βίαιοί τε καὶ οὐ βίαιοι, περί τε τῶν ἄλλων ἁπάντων, [καὶ] ὅσα ταύτης ἔχεται τῆς θεωρίας. [10]

17a 147 Λέγειν τὰ προγενόμεν α , γινώσκειν τὰ παρεόντ α , προλέγειν τὰ ἐσόμεν α . Κἀν τῷ Προγνωστικῷ συγγράμματι κατ’ ἀρχὰς εὐθὺς εἶπε· “προγινώσκων γὰρ καὶ προλέγων 〈παρὰ τοῖσι νοσέουσι〉 τά τε παρεόντα καὶ τὰ προγενόμενα καὶ τὰ μέλλοντα ἔσεσθαι”, ὡς περὶ τοὺς τρεῖς χρόνους καταγιγνομένης τῆς προγνώσεως. καὶ ὅπως χρὴ τοῦτο διαπράττεσθαι, διὰ τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων εἴρηται. Μελετᾶν ταῦτ α . Ἐνταῦθα νῦν τὸ μελετᾶν ἀντὶ τοῦ ἀσκεῖν εἶπεν, ἐν ἄλλοις δὲ πολλάκις τὴν ἐπιμέλειαν ὀνομάζει μελέτην. [10]

17a 148 Ἀσκεῖν περὶ δύο τὰ νοσήματ α , ὠφελέειν ἢ μὴ βλάπτει ν . Ἐγὼ τοῦτο μικρὸν ᾤμην ποτὲ καὶ οὐκ ἄξιον Ἱπποκράτου ς. ἅπασι γὰρ ἀνθρώποις ὑπάρχειν πρόδηλον ἐνόμιζον, ὡς χρὴ τὸν ἰατρὸν στοχάζεσθαι μὲν μάλιστα τῆς ὠφελείας τῶν καμνόντων, εἰ δὲ μή, ἀλλὰ τοῦ μὴ βλάπτειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτούς. ἐπεὶ δὲ πολλοὺς τῶν ἐνδόξων ἰατρῶν ἐθεασάμην ἐγκληθέντας δικαίως ἐφ’ οἷς ἔπραξαν ἢ φλεβοτομήσαντες ἢ λούσαντες ἢ φάρμακόν τι δόντες ἢ οἶνον ἢ ὕδωρ ψυχρόν, ἐνενόησα τάχα μέν τι καὶ αὐτῷ τῷ Ἱπποκράτει συμβῆναι [τὸ] τοιοῦτον, ἐξ ἀνάγκης δ’ οὖν πολλοῖς καὶ ἄλλοις τῶν κατ’ αὐτὸν ἰατρῶν, ἐξ ἐκείνου τε περὶ παντὸς ἐποιησάμην, εἴ ποτέ τι τῷ κάμνοντι μέγα προσφέροιμι βοήθημα, προδια σκέπτεσθαι παρ’ ἑαυτῷ, μὴ μόνον ὅσον ὠφελήσω τοῦ σκοποῦ τυχών, 〈ἀλλὰ καὶ ὅσον βλάψω ἀποτυχών. [10]

17a 149 〉 οὐδὲν οὖν οὐδεπώποτ’ ἔπραξα, μὴ πειραθεὶς ἐμαυτοῦ πρότερον 〈περὶ τὸ〉, ἐὰν ἀποτύχω τοῦ σκοποῦ, μηδὲν βλάψαι τὸν νοσοῦντα. τινὲς δὲ τῶν ἰατρῶν ὁμοίως τοῖς τοὺς κύβους ἀναρρίπτουσιν εἰώθασιν ἐπὶ τῶν καμνόντων βοηθήματα προσφέρειν, ὧν ἡ ἀποτυχία μεγίστην ἐπιφέρει βλάβην τοῖς νοσοῦσιν. τοῖς μὲν οὖν μανθάνουσι τὴν τέχνην οἶδ’ ὅτι δόξει, καθάπερ μοί ποτε, τὸ ὠφελέειν 〈ἢ〉 μὴ βλάπτειν οὐκ ἄξιον πρὸς Ἱπποκράτους γεγράφθαι πρώτου, τοῖς δ’ ἰατρεύουσιν ἤδη σαφῶς οἶδα τὴν δύναμιν αὐτοῦ φανησομένην. ἐὰν δὲ καὶ διὰ προπετῆ χρῆσιν ἐνίοτε βοηθήματος ἰσχυροῦ συμβῇ τὸν κάμνοντα διαφθαρῆναι, μάλιστα νοήσουσιν οὗ νῦν ὁ Ἱπποκράτης παρῄνεσε τὴν δύναμιν. Ἡ τέχνη διὰ τριῶ ν , τὸ νόσημ α , ὁ νοσέω ν , ὁ ἰητρό c · ὁ 〈ἰητρὸς〉 ὑπηρέτης τῆς τέχνη c . [13]

17a 150 ἐναντιοῦσθαι τῷ νοσήματι τὸν νοσέοντα μετὰ τοῦ ἰητροῦ 〈χρ ή .〉 Τρία πάντ’ εἶναί φησι, περὶ ὧν καὶ δι’ ὧν ἡ θεραπεία περαίνεται, πρῶτον μὲν τὸ νόσημ α, εἶθ’ ὁ ἰατρό c, ἀνταγωνιζομένων ἀλλήλοις καί, ὡς ἄν τις εἴποι, διαμαχομένων τε καὶ πολεμούντων τοῦ τε ἰατροῦ καὶ τοῦ νοσήματο c. ὁ μὲν γὰρ ἰατρὸς ἀνελεῖν ἐπιχειρεῖ τὸ νόσημ α, 〈τῷ δὲ〉 τὸ μὴ νικηθῆναι πρόκειται. τρίτος δ’ ἐπ’ αὐτοῖς ὁ κάμνων ἐστίν, ἐὰν μὲν πείθηται τῷ ἰατρῷ καὶ τὰ προσταττόμενα πράττῃ, συναγωνιστὴς γενόμενος αὐ τῷ καὶ πολεμῶν τῷ νοσήματ ι, ἐὰν δ’ ἀποστὰς αὐτοῦ τὰ κελευόμενα πρὸς τοῦ νοσήματος ποιῇ, κατὰ διττὸν τρόπον ἀδικεῖ τὸν ἰατρόν, ἕνα μὲν ὅτι τοῦτον μόνον εἴασεν, 〈ὄντα πρότερον διττόν,〉 δεύτερον 〈δέ, ὅτι τὸν ἕτερον εὖ〉 ἐποίησεν, ὄντα πρότερον ἕνα. ἰσχυροτέρους δ’ ἀναγκαῖον εἶναι τοὺς δύο τοῦ ἑνός. εὔδηλον δὲ ὅτι τὰ κελευόμενα 〈πρὸς τοῦ νοσήματος〉 ὁ κάμνων πράττει, καταλιπὼν τὸν ἰατρόν, ὅταν ὁ μὲν ἰατρὸς αὐτὸν ἀπέχεσθαι κελεύῃ ψυχρᾶς πόσεως, ὁ δὲ ὑπὸ τοῦ πυρετοῦ διακαιόμε νος ἀναπείθηται πρὸς αὐτοῦ πιεῖν. [15]

17a 151 οὕτως δ’ εἰ καὶ λούοιτο καὶ προσφέροιτο οἶνον ἤ τι τοιοῦτον ἕτερον, ὧν ὁ ἰατρὸς ἀπαγορεύει μὴ ποιεῖν, αὐξήσει δηλονότι τὸ νόσημ α, πράττων ἃ φίλον ἐκείνῳ, προδώσει δὲ τὸν ἰατρόν, ἃ μὴ βούλεται ποιῶν. ἐν πολλοῖς μὲν οὖν τῶν ἀντιγράφων γέγραπται· ὁ ἰητρὸς ὑπηρέτης τῆς τέχνη c, ἔν τισι δ’ οὐ τῆς τέχνη c, ἀλλὰ τῆς φύσεως γέγραπται. διαφέρει δ’ οὐδὲν πρὸς τὴν ὅλην τοῦ λόγου διάνοιαν. Τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἀλγήματα καὶ βάρη σὺν πυρετοῖς καὶ ἄνευ πυρετῶ ν . Τοῦτο προγράμματος ἔχει δύναμιν ἐπαγγελλομένου τοῦ Ἱπποκράτου c, πῇ τελευτᾶν εἴωθε τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἀλγήματα καὶ βάρη καὶ ἅστινας ἔχει διαφοράς, [ἐπαγ γελλομένου] ἑξῆς ἐρεῖν. [10]

17a 152 καὶ τοίνυν προσέχωμεν αὐτῷ τοῦτο ποιοῦντι διὰ τῶν εἰρησομένων. Φρενιτικοῖσι μὲν σπασμο ί , 〈καὶ ἰώδεα ἐπανεμέουσι〉 καὶ ἔνιοι ταχυθάνατοι τουτέω ν . Σπασμο ί, φησι, γίνονται τοῖς φρενιτικοῖ c, “τῶν περὶ τὴν κεφαλὴν καὶ τὸν τράχηλον ἀλγημάτων παραμενόντων καὶ βαρῶν”, ἀλλὰ καὶ ἰώδη ἐμέουσι ν. ἐδείχθη δὲ ἡμῖν τὰ τοιαῦτα πάντα διαχωρήματά τε καὶ ἐμέσματα τῆς ξανθῆς χολῆς κατωπτημένης γινόμενα, διὸ καὶ τούτοις ἐφεξῆς ἐρεῖ, ὅτι ταχυθάνατοι ἔνιοι γίνονται, τουτέστιν εὐθέως ἐπὶ τοῖς ἐμεθεῖσιν ἀποθνῄσκουσιν, ὡς ἂν ἐν τοῖς κατὰ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας χωρίοις τῆς φρενίτιδος συνισταμένης ἐπὶ τῇ ξανθῇ χολῇ. [10]

17a 153

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θαυμαστὸν οὖν οὐδὲν ὑπερξηρανθέντων τῶν μορίων τούτων γενέσθαι τοὺς σπασμού c. ἔνιοι μὲν οὖν ἅμα τῷ σπασθῆναί τε καὶ ἰώδη ἐμέσαι παραχρῆμα διεφθάρησαν, ἔνιοι δὲ διὰ ῥώμην δυνάμεως ἐπέζησαν ἡμέραν ἢ δύο ἢ τρεῖς, ἔστιν ὅτε πέντε. Ἐν καύσοισι δὲ καὶ τοῖσιν ἄλλοισι πυρετοῖσι ν , οἷσι μὲν τραχήλου πόνος καὶ κροτάφων βάρος καὶ σκοτώδεα [ τ ὰ ] περὶ τὰς ὄψιας [ἢ ] καὶ ὑποχονδρίου ξύντασις οὐ με τ ’ ὀδύνης ἐγγίνετα ι , τούτοισιν αἱμορραγέει διὰ ῥινό c . Εἴρηταί μοι κατὰ τὴν ἐξήγησιν τοῦ Προγνωστικοῦ περὶ τῶν οὕτω γινομένων αἱμορραγιῶν, ἐκείνην ἐξηγουμένῳ τὴν ῥῆσιν, ἧς ἡ ἀρχή· “οἷσι δὲ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι ἀμβλυωγμὸς γίνηται ἢ μαρμαρυγαὶ προ φαίνωνται, ἀντὶ δὲ τοῦ καρδιώσσειν ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ ἢ ἐπ’ ἀριστερὰ ξυντείνηταί τι μήτε σὺν ὀδύνῃ μήτε σὺν φλεγμονῇ, αἷμα διὰ ῥινῶν ῥυῆναι τούτοισι προσδόκιμον ἀντὶ τοῦ ἐμέτου.

17a 154 ” καὶ ὅτι τελεώτερον ἐκεῖ περὶ τούτων ἔγραψεν, εἰ παραβάλλοις ἀλλήλαις τὰς ῥήσεις, ἐναργῶς μαθήσῃ. τοσοῦτον οὖν με μόνον ἐνταῦθα προσθεῖναι δεήσει διὰ τοὺς περὶ τὸν Καπίτωνα γράψαντας ἐν τῇ προκειμένῃ ῥήσει· καὶ ὑποχονδρίου ξύντασις με τ ’ ὀδύνη c. οὐκ ὀρθῶς γὰρ ἀφεῖλον τὴν ἀπόφασιν, τὴν ο ὐ, διά τε τὸ ἀληθὲς αὐτὸ καὶ ὅτι κατὰ τὸ Προγνωστικὸν 〈ὑφ’〉 Ἱπποκράτους εἴρηται· “ὅταν ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ ἢ ἀριστερὰ συντείνηταί τι μήτε σὺν ὀδύνῃ μήτε σὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν ῥυῆναι τούτοις προσδόκιμον [ἐστὶ] 〈ἀντὶ τοῦ ἐμέτου.〉 ” τῆς γὰρ ἐπὶ τὴν κεφαλὴν ῥοπῆς τῶν χυμῶν σημεῖόν ἐστιν ἡ τοῦ ὑποχονδρίου σύντασις χωρὶς ὀδύνης γινομέν η. ὥς 〈τ〉 ’, ἐάν γε μετ’ ὀδύνης ᾖ, τῇ τῶν σπλάγχνων ἀκολουθεῖ φλεγμονῇ, ὅταν δὲ τῆς περὶ τὴν κεφαλὴν θερμασίας ἑλκούσης ἄνω τὸ αἷμα καὶ τοῦ ἥπατος ὠθοῦντος ἡ σύντασις γίγνηται, τὴν αἱμορραγίαν προσδέχεσθαι χρή.

17a 155 Οἷσι δὲ βάρεα μὲν ὅλης τῆς κεφαλῆ c , καρδιωγμοὶ δὲ καὶ ἀσώδεές εἰσι ν , ἐπανεμέουσι χολώδεα καὶ φλεγματώδε α . [ τὸ πολὺ δὲ παιδίοις ι. ] Καὶ τοῦτον τὸν λόγον ἐν τῷ Προγνωστικῷ διὰ τῆσδε τῆς ῥήσεως ἐδίδαξεν· “ὅστις δ’ ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ κεφαλὴν ἀλγεῖν ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν γίνεσθαι ἢ καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. ἢν δὲ καὶ ῥῖγος ἐπιλάβῃ καὶ τὰ κάτω τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ, ταχύτερον ὁ ἔμετος παρέσται. ἢν δέ τι καὶ πίῃ καὶ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμέεται. τούτων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρᾳ, τεταρταῖοι πιεζοῦνται μᾶλλον καὶ πεμπταῖοι, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. οἱ μέντοι πλεῖστοι αὐτῶν ἄρχονται μὲν πονέεσθαι τριταῖοι, πιέζονται δὲ πεμπταῖοι μάλιστα, ἀπαλλάσσονται δ’ ἐναταῖοι ἢ ἑνδεκαταῖοι.

17a 156 οἳ δ’ ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι καὶ τὰ ἄλλα κατὰ λόγον αὐτοῖσι τῶν πρόσθεν γίνηται, ἐς τὴν τεσσαρεσκαιδεκάτην ἀπαλλάσσονται. γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶν ἐν τοῖς τριταίοις μάλιστα, τοῖσι δὲ νεωτέροισι γίνεται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ τοῖς συνεχεστέροισι πυρετοῖς καὶ τοῖσι γνησίοισι τριταίοισιν.” αὕτη περὶ τῶν αὐτῶν, ὧν νῦν διέρχεται, 〈ἡ〉 ῥῆσις ἐν τῷ Προγνωστικῷ γέγραπται καὶ αὐτὴν ἐξηγησάμεθα κατὰ τὸ τρίτον τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ἡμῖν γεγραμμένων 〈ὑπομνημάτων〉 , ὥστ’ οὐδὲν 〈ἡμᾶς〉 δεῖ πάλιν περὶ τῶν αὐτῶν ἐνταῦθα λέγειν, ὁρῶντας ἀκριβέστερον ἐν τῷ Προγνωστικῷ γεγραμμένον ὅλον τὸν λόγον. εἰ δέ τι περιττότερον ἐν τούτῳ τῷ βιβλίῳ πρόσκειται, τοῦτο διὰ τῶν ἑξῆς ῥήσεων ἐξηγήσομαι, μεμνημένων ἡμῶν, ὅτι τὸ μὲν κυρίως ὀνομαζόμενον ἐξηγεῖσθαι κατὰ τὰς ἀσαφεῖς γίνεται λέξεις, ἤδη δὲ διὰ τὸ τῶν ἐξηγητῶν ἔθος καταχρώμενοι καὶ τὰς αἰτιολογίας τῶν σαφῶς εἰρημένων ἐξηγήσεις ὀνομάζομεν, ὅπερ καὶ νῦν ἡμεῖς ποιοῦμεν ἑπόμενοι τῇ κρατούσῃ συνηθείᾳ.

17a 157 τὴν γὰρ λέξιν αὐτὴν οὖσαν σαφῆ καὶ μηδεμιᾶς ἐξηγήσεως δεομένην προφερόμενοι, τῶν ὑπ’ αὐτῆς δηλουμένων σαφῶς τὰς αἰτίας ἐπιχειροῦμεν λέγειν. [ ὡ c ] Τὸ πολὺ δὲ παιδίοισιν · ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖσι τοιούτοισιν οἱ σπασμοὶ μάλιστ α . Τὰ παιδία διὰ τὴν ἀσθένειάν τε ἅμα καὶ μαλακότητα τοῦ νευρώδους γένους ἑτοιμότατα πρὸς τοὺς σπασμούς ἐστιν. Γυναιξὶ δὲ καὶ ταῦτα καὶ ἀπὸ ὑστερέων πόνο ι . Καὶ τὰ προειρημένα πάντα γίνεται ταῖς γυναιξίν, ὡς καὶ τοῖς ἄρρεσι, καθόσον ἄνθρωποί τέ εἰσι καὶ πάντα ἔχου σι ταὐτὰ τοῖς ἄρρεσι μόρια.

17a 158 καθόσον δ’ αὐταῖς ἐξαίρετον ὑπάρχει μόριον ἡ μήτρ α, κατὰ τοῦτο καὶ τοῖς ἐκείνης ἁλίσκονται νοσήμασι καὶ μάλιστ’ ἐφ’ ὧν τῷ στομάχῳ συμπάσχει. Πρεσβυτέροισι δὲ καὶ ὅσοις ἤδη τὸ θερμὸν κρατέετα ι , [ κα ὶ ] παραπληγικὰ ἢ μανικὰ ἢ στερήσιες ὀφθαλμῶ ν . Ὁ λόγος ἦν αὐτῷ περὶ τῶν βαρυνομένων τε ἅμα τὴν κεφαλὴν καὶ καρδιωσσόντων καὶ ἀσσωμένων, οὓς ἐπανεμεῖν ἔφη χολώδη καὶ φλεγματώδη, καὶ μάλιστα εἰ παιδία εἶεν, ἐν οἷς καὶ σπασμοὺς γίνεσθαι μᾶλλον ἢ τοῖς τελείοις. ἀλλὰ καὶ γυναιξὶν ἔφη καὶ ταῦτα καὶ ἀπὸ ὑστερῶν πόνους συμβαίνειν. ἐφεξῆς οὖν φησι τοῖς πρεσβυτέροις παραπληξίας τε γίνεσθαι καὶ μανίας καὶ στερήσεις ὀφθαλμῶν, προσέθηκε δὲ τῷ λόγῳ τὸ οἷσιν ἤδη τὸ θερμὸν κρατέεται, τὴν αἰτίαν ἐνδεικνύμενος, δι’ ἣν ταῦτα γίνεται. παραπληγίας μὲν καλεῖ τὰς ἐξ ἀποπληξίας εἴς τι μόριον κατασκηπτούσας παραλύσεις, μανίας δὲ τὰς ἄνευ πυρετοῦ παραφροσύνας.

17a 159 εἴωθε δὲ ταῦτα γίνεσθαι τοῖς πρεσβυτέροις διὰ τὴν ἀσθένειαν τῆς φύσεως, ἀδυνατούσης ἐκκρῖναι δι’ ἐμέτων ἢ αἱμορραγίας τὸ περὶ τὴν κεφαλὴν ἠθροισμένον πλῆθος, ἐφ’ ᾧ καὶ στερήσεις ὀφθαλμῶν ἐνίοτε γίγνονται κατασκήπτοντι τούτοις. [Τρίτη κατάστασις.] Ἐν Θάσῳ πρὸ ἀρκτούρου ὀλίγον καὶ ἐ π ’ ἀρκτούρῳ ὕδατα πολλὰ μεγάλα ἐν βορείοις ι . περὶ δὲ ἰσημερίην καὶ μέχρι πληιάδος νότια ὕδατα σμικρὰ ὀλίγ α , χειμὼν βόρειο ς , αὐχμο ί , ψύχε α , πνεύματα μεγάλ α , χιόνε ς . περὶ δ ’ ἰσημερίην χειμῶνες μέγιστο ι . ἔαρ βόρειο ν , αὐχμο ί , ὕδατα ὀλίγ α , ψύχε α . περὶ δὲ ἡλίου τροπὰς θερινὰς ὕδατα ὀλίγ α , μεγάλα ψύχεα μέχρι κυνὸς ἐπλεόνασε ν . μετὰ δὲ κύνα μέχρις ἀρκτούρου θέρος θερμόν · καύματα μεγάλα καὶ οὐκ ἐκ προσαγωγῆ ς , ἀλλὰ συνεχέα καὶ βίαια · ὕδωρ οὐκ ἐγένετο · ἐτησίαι ἔπνευσα ν .

17a 160 περὶ δὲ ἀρκτοῦρον ὕσματα νότια μέχρι ἰσημερί ς . Ἐν δὲ τῇ καταστάσει ταύτῃ κατὰ χειμῶνα μὲν ἤρξαντο παραπληγίαι καὶ πολλοῖσιν ἐγίνοντ ο , καὶ τινὲς αὐτῶν ἔθνησκον διὰ ταχέων · καὶ γὰρ ἄλλως τὸ νόσημα ἐπιδήμιον ἦν · τὰ δ ’ ἄλλα διετέλεον ἄνοσο ι . Ψυχρὰ καὶ ξηρὰ κατάστασίς ἐστιν, [δι’] ἣν διηγεῖται, καί τι καὶ ἀνώμαλον ἔχουσα. κατὰ πάντ’ οὖν ταῦτα φθινοπώρῳ παραπλήσιος οὖσα καὶ τὰ νοσήματα τοιαῦτα ἔσχεν, οἷα μάλιστα πλεονάζειν εἴωθε φθινοπώρῳ. ὅτι μὲν οὖν ἀνώμαλος ἐγένετο, δῆλον ἐκ τῶνδε· περὶ γὰρ ἀρκτοῦρον ἐπιτέλλοντα μετὰ βορείων πνευμάτων ὑετοὺς μεγάλους γενέσθαι φησίν, ἀκολουθῆσαι δὲ τὸ φθινόπωρον ὅλον ἐναντίον τῇδε τῇ καταστάσει, ἀντὶ μὲν βορείου νότιον γενόμενον, ἀντὶ δὲ ἐπομβρίου βραχέα σχὸν ὕδατ α. πάλιν δὲ τὸν χειμῶνα βόρειόν τε καὶ ξηρὸν εἶναι, εἶτα καὶ τὸ ἔαρ ὅλον 〈καὶ τὸ θέρος〉 ἄχρι κυνὸς ἐπι τολῆς, ὥστε πρόδηλον μέν ἐστιν ἱκανῶς ἐπικρατῆσαι ἐν τῇ καταστάσει τὸ ξηρὸν καὶ τὸ ψυχρόν.

17a 161 ἐδείχθη δὲ καὶ ἀνώμαλα τὰ πρῶτα αὐτῆς μέχρι χειμῶνος, εἶτα μετὰ κύνα πάλιν ἐκ τῶν βορείων καὶ ψυχρῶν ἐξαίφνης γενέσθαι φησὶ καύματα μεγάλα καὶ βίαια καὶ μετὰ ταῦτα πάλιν ὕδατα νότι α. δῆλον οὖν ὅτι καὶ τὸ τέλος τῆς ὅλης καταστάσεως τὸ μετὰ κύνα σφοδρῶς ἀνώμαλον ἐγένετο. διηγεῖται τοιγαροῦν ἐφεξῆς τὰ 〈τότε〉 γενόμενα νοσήματα σαφῶς ἅπαντα, μηδεμιᾶς λέξεως ἀσαφοῦς περιεχομένης, ὅτι μὴ σπανίως. ἀλλ’ ἐπεὶ καὶ τὰς αἰτίας τῶν γενομένων νοσημάτων προεθέμεθα λέγειν, ἐκείνας δεήσει προστιθέναι ταῖς ῥήσεσιν αὐτοῦ, τὰς λέξεις δὲ αὐτὰς διὰ κεφαλαίων συντέμνειν, αἷς ἀκολουθήσουσιν οἱ προμεμνημένοι τῶν τε κατὰ τὸ πρῶτον βιβλίον εἰρημένων καὶ τῶν ἔμπροσθεν ἐν τούτῳ. παραπληγίας μὲν οὖν 〈φησιν〉 ἐν τῷ χειμῶνι γενέσθαι, τῆς κεφαλῆς δηλονότι πληγείσης ὑπὸ τῶν ἐν αὐτῷ γενομένων ψυχρῶν πνευμάτων, καὶ μάλιστα ὅτι τὸ φθινόπωρον ὅλον νότιον γενόμενον ἐθέρμηνέ τε καὶ ἠραίωσεν αὐτὴν ἅμα τῷ πληρῶσαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17a 162 ἡ γὰρ οὕτω προδιακειμένη πλεῖστα πάσχει κατὰ τὰ ψυχρὰ 〈καὶ〉 βόρεια πνεύματα. οὐ μὴν ἄλλο γέ τι νόσημα τὸν χειμῶνα παρελύπει, διότι ξηρὸς ἦν. εἴρηται δὲ καὶ κατὰ τοὺς Ἀφορισμοὺς τοὺς αὐχμοὺς τῶν ἐπομβριῶν ὑγιεινοτέρους εἶναι. κατὰ μέντοι 〈ταύτην τὴν κατάστασίν τινες διὰ〉 τὰς παραπληγίας ἀπέθνῃσκο ν, αὐ τοῦ τοῦ Ἱπποκράτους εἰπόντος· καὶ γὰρ ἄλλως τὸ νόσημα ἐπιδήμιον ἦ ν, 〈τουτέστιν〉 ἐν ἴσῳ τῶν ξενιζόντων διὰ τὴν παρὰ τὸ σύνηθες γενομένην παραπληγία ν. ἡ γάρ τοι συνήθως γινομένη κατασκήπτει μὲν εἰς μέρους παράλυσιν, οὐ μὴν [ἀλλ'] ἀναιρεῖ γε τὸν ἄνθρωπον. ἀλλ' ἡ κατὰ τὴν προκειμένην κατάστασιν ἐπιδημήσασα παραπληγία θανατώδης ἦν, ἅτε κατεψυγμένης ἱκανῶς τῆς κεφαλῆς. Πρωῒ δὲ τοῦ ἦρος ἤρξαντο καῦσοι καὶ διετέλεον ἀ π ' ἰσημερίης ἄχρι [ πρὸς τ ὸ ] θέρο〈υ〉 ς . ὅσοι μὲν οὖν ἦρος καὶ θέρους ἀρχομένου αὐτίκα νοσεῖν ἤρξαντ ο , οἱ πλεῖστοι διεσῴζοντ ο , ὀλίγοι δέ τινες ἔθνῃσκο ν . [12]

17a 163 Δῆλόν ἐστιν, ὡς οὐκ αὐτῶν ἕκαστον τῶν ἀρξαμένων καύσων πρωῒ τοῦ ἦρος ἄχρι θέρους ἐκταθῆναί φησιν, ἀλλὰ τὴν ἐπιδημίαν αὐτῶν τῶν γενομένων· ἐν ἅπαντι χρόνῳ συμβῆναι, ποτὲ μὲν ἄλλῳ δηλονότι χρόνῳ, ποτὲ δ' ἄλλῳ τῶν Θασίων ἁλισκομένων τῷ τοιούτῳ πυρετῷ. γέγραπται δ' οὐχ ὡσαύτως ἐν ἅπασι τοῖς ἀντιγράφοις ἡ ῥῆσις, ἀλλ' ἔγωγε τὴν ἀρίστην γραφὴν εἱλόμην. κατὰ μὲν τὴν ἑξῆς ῥῆσιν ἐδήλωσεν, ὅτι καὶ διὰ τοῦ θέρους ὅλου παρέμενεν ἡ γένεσις τῶν καύσω ν, καὶ ὡς ἐν ἅπαντι μὲν καιρῷ τούτῳ μέτριοι καὶ οὐ θανατώδεις ἦσαν, ἐν ἀρχῇ δὲ τοῦ φθινοπώρου πολλοὶ τῶν ἁλισκομένων αὐτοῖς ἀπώλοντο. τὸ μὲν οὖν ἄχρι πολλοῦ τοὺς καύσους ἐπιεικεῖς γενέσθαι λόγον ἔχειν εἰκότα φαίνεται· μέτριοι γὰρ ἐγίνοντο, καθάπερ οἱ ἐν τῇ πρὸ ταύτης καταστάσει, καὶ οὐκ ἀκριβεῖς, ὡς ἂν οὔθ' ὑπὸ θερμῆς ἀκριβῶς καὶ ξηρᾶς καταστάσεως ἀποτελεσθέντες οὔτε μὴν πάσαις ἐπισυμβάντες κράσεσιν, ἀλλὰ 〈μόνον〉 ταῖς τὸ χολῶδες ἠθροικέναι φθανούσαις. [15]

17a 164 τὸ δ' ὅλως γενέσθαι καύσους τηνικαῦτα τὴν τῆς αἰτίας εὕρεσιν οὐκ ἔχει σαφῆ διὰ τὸ μηδ' ὅλως μνημονεῦσαι τὸν Ἱπποκράτην τοῦ προηγησαμένου θέρους, ἀλλ' ἀπὸ τῆς ἀρχῆς τοῦ φθινοπώρου τὴν ἀρχὴν τῆς διηγήσεως ποιήσασθαι, καὶ πολύ γε χαλεπωτέραν, ὅτι πιθανὸν 〈ἂν〉 εἴη τὸ θέρος ἐκεῖνο τὴν κατὰ φύσιν ἑαυτοῦ φυλάξαι κρᾶσιν, ἢ πάντως, εἰ 〈τῆς κατὰ φύσιν〉 ἐξετράπετο κατά τι, διηγήσατ' ἂν ὁ Ἱπποκράτης αὐτοῦ τὴν κατάστασιν. ἴσως οὖν θερμότερον ἐγένετο καὶ 〈ξηρότερον,〉 οὐ πάνυ πολλῷ τοῦ κατὰ φύσιν ἐξηλλαγμένον, ὅθεν οὐδὲ ἠξίωσεν αὐτὸ γράφειν ὡς ἤδη παρὰ φύσιν ἔχον. ἀλλ' ὅμως, ἐπειδὴ κατὰ τὸ θέρος, ἐὰν κατὰ φύσιν ἔχειν συμβαίνῃ, τὸν πικρόχολον χυμὸν ἀνάγκη πλείονα γίνεσθαι, διὰ τοῦτο καὶ τότε πλείων ὢν οὗτος οὐ μόνον τοῦ εἰωθότος, ἀλλ' ἔτι καὶ μᾶλλον ἐν ἐκείνῳ τῷ θέρει γενόμενος ὑπὸ τοῦ μετὰ ταῦτα ἐπιγενομένου κρύους ἔνδον ἐφυλάχθη μὴ διαπνευσθεὶς μηδὲ διαφορηθείς, ἐπὶ πλέον δ' ἐμφωλεύσας τῷ χρόνῳ καὶ διασαπεὶς τοὺς καύσους ἤνεγκεν. [15]

17a 165 Ἤδη 〈δὲ〉 τοῦ φθινοπώρου καὶ τῶν ὑδάτων γινομένων θανατώδεες ἦσαν καὶ πλείους ἀπώλλυντ ο . Ἀναμνησθῶμεν ὡς κατὰ τὸ τέλος τῆς ὅλης διηγήσεως, ἣν ἐποιήσατο περὶ τῆς καταστάσεως, [ἧς] ἔγραψεν· "〈περὶ δὲ ἀρκτοῦρον〉 ὕσματα νότια μέχρι ἰσημερίης [ἦρος]". εἰρήκει δὲ καὶ περὶ τοῦ μετὰ κυνὸς ἐπιτολὴν χρόνου μέχρις ἀρκτούρου κατὰ λέξιν οὕτως· "〈μετὰ δὲ κύνα μέχρις ἀρκτούρου〉 θέρος θερμόν, καύματα μεγάλα καὶ οὐκ ἐκ προσαγωγῆς, ἀλλὰ συνεχέα καὶ βίαια· ὕδωρ οὐκ ἐγένετο". πρόδηλον οὖν ὅτι χολοποιὸς ἡ τοιαύτη κατάστασις ἐγένετο, ὥστ' εἰκότως ὑδάτων νοτίων διαδεξαμένων αὐτὴν οἱ καῦσοι πλείους τε καὶ θανατώδεις ἐγίγνοντο, τοῦ νότου πεφυκότος διαλύειν τε τὰ σώματα καὶ χεῖν τοὺς χυμοὺς καὶ μέντοι καὶ σήπειν [ἅμα], ὅταν ἅμα πλείοσιν ὑετοῖς γένηται. Ἦν δὲ τῶν καύσων τὰ παθήματ α , οἷσι μὲν καλῶς καὶ δαψιλῶς διὰ ῥινῶν αἱμορραγήσα ι , [ κα ὶ ] διὰ τούτου μάλιστα σῴζεσθα ι , καὶ οὐδένα οἶδ α , εἰ καλῶς αἱμορραγήσα ι , ἐν τῇ καταστάσει ταύτῃ ἀποθανόντ α . [5]

17a 166

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ ἐ ν ] Φιλίσκῳ γὰρ καὶ Ἐπαμείνονι καὶ Σιληνῷ τεταρταίοισι 〈καὶ πεμπταίοισι〉 σμικρὸν ἀπὸ ῥινῶν ἔσταξε καὶ ἀπέθανο ν . Καὶ ἄλλως μὲν ἴδιόν ἐστι καύσων πυρετῶν αἱμορραγίαις ταῖς ἐκ ῥινῶν ὡς τὰ πολλὰ κρίνεσθαι, καὶ τότε πλείους αἱμορραγῆσαί φησιν. καὶ μέντοι καὶ τὰ ἐφεξῆς αὐτῷ γεγραμμένα πάντα τῶν κατὰ μέρος γεγενημένων ἑκάστοις ἓν ἔχει τοῦτο 〈τὸ〉 κεφάλαιον· “ὅσοις μὲν αἱμορραγίαι τελέως ἐγίνοντο, σωθῆναι τούτους, οἷς δ’ ἐλλιπῶς ἢ οὐδ’ ὅλως ἦν στάξις αἵματος ἐκ ῥινῶν, μόνους διαφθαρῆναι τούτους, ἐν ἄλ λοις δέ τισι φυσικῶν ἄλλων ἐκκρίσεων ἤτοι [τῶν] διὰ γαστρὸς ἢ δι’ οὔρων γενομένων 〈τούτους μετὰ πολὺν χρόνον μόγις〉 σωθῆναι. [10]

17a 167 ” Οἱ μὲν οὖν πλεῖστοι τῶν νοσούντων περὶ κρίσιν ἐρρίγουν καὶ μάλιστα οἷσι μὴ αἱμορραγίαι · ἐπερρίγουν δὲ καὶ οὗτοι καὶ ἐφίδρου ν . Ἐν τοῖς Περὶ ῥίγους λόγοις ἐδείχθη διὰ τὸν πικρόχολον 〈χυμὸν〉 ὁρμὴν ἔχοντα φέρεσθαι διὰ τῶν αἰσθητικῶν καὶ σαρκωδῶν σωμάτων ἐπὶ τὴν ἔκκρισιν ἕπεσθαι τὸ ῥῖγο ς. ἐδείχθη δὲ καὶ ὅτι τῇ κινήσει ταύτῃ κατὰ λόγον ἐστὶν ἀκολουθεῖν ἱδρῶτα ς, ἐνίοτε δὲ καὶ χολώδεις ἐμέτους καὶ κάτω διαχωρήσεις. Ἔστι δ ’ οἷσιν ἴκτεροι ἑκταίοισι ν , ἀλλὰ τούτοις ἢ κατὰ κύστιν κάθαρσις ἢ κοιλίη ἐκταραχθεῖσα ὠφέλει ἢ δαψιλὴς αἱμορραγί α , οἷον Ἡρακλείδ ῃ , ὃς κατέκειτο παρὰ Ἀριστοκύδε ι , καίτοι τούτῳ καὶ ἐκ ῥινῶν ᾑμορράγησε καὶ ἡ κοιλία ἐπεταράχθη καὶ κατὰ κύστιν ἐκαθήρατο · ἐκρίθη δὲ εἰκοσταῖο ς · οὐχ οἷον ὁ Φαναγόρεω οἰκέτη ς , ᾧ οὐδὲν τούτων ἐγένετο · ἀπέθανε ν . [5]

17a 168 Οἷς οὐκ ἠδυνήθη τὴν χολὴν ἡ φύσις ἐκκρῖναι, τούτοις ἀθροισθεῖσα κατὰ τὸ δέρμα τοὺς ἰκτέρους εἰργάσατο. μοχθηρὸν δὲ τὸ πρὸ τῆς ἑβδόμης αὐτοὺς γενέσθαι, καθότι κἀν τοῖς Ἀφορισμοῖς εἴρηται. καὶ τούτων δ’ αὐτῶν ἐκεῖνοι μόνοι ἐσώθησαν, ὅσοις [ἂν] ἡ φύσις ἠδυνήθη δι’ ἑτέρου τρόπου τὴν περιουσίαν ἐκκρῖναι. τριῶν δὲ τούτων ἐμνημόνευσεν, ἐκκρίσεως οὔρω ν , γαστρὸς ἐκταράξεως καὶ αἱμορραγία ς. ἐνίοις δὲ καὶ ταῦτα πάντα γενέσθαι φησίν, ὥσπερ τῷ Ἡρακλείδ ῃ, καὶ κριθῆναι τοῦτον εἰκοσταῖο ν. Ἡιμορράγει δὲ τοῖσι πλείστοις ι , μάλιστα δὲ τοῖσι μειρακίοισι καὶ ἀκμάζους ι , καὶ ἔθνησκον πλεῖστοι τούτω ν , οἷς μὴ αἱμορραγήσα ι . [13]

17a 169 πρεσβυτέροισι δὲ ἐς ἰκτέρους ἢ κοιλίαι ταραχώδεες ἢ δυσεντεριώδεε ς , οἷον Βίωνι τῷ παρὰ Σιληνῷ κατακειμέν ῳ . ἐπεδήμησαν δὲ καὶ δυσεντερίαι κατὰ θέρο ς , καί τισι 〈καὶ〉 τῶν διανοσησάντω ν , οἷσι καὶ αἱμορραγίαι ἐγένοντ ο , ἐς δυσεντεριώδεα ἐτελεύτησε ν , οἷον τῷ Ἐράτωνος παιδὶ καὶ Μύλλῳ πολλῆς αἱμορραγίης γενομένης ἐς δυσεντεριώδεα κατέστ η , καὶ περιεγένοντ ο . Μειρακίοις μὲν ὅτι κατὰ λόγον ᾑμορράγει πρόδηλον, ἐφεξῆς δ’ αὐτῶν καὶ τοῖς ἀκμάζους ι· τοῖς δὲ τούτων πρεσβυτέροι ς, ἀσθενεστέρας γε τῆς δυνάμεως οὔσης καὶ τῆς ἐμφύτου θερμασίας ἐλάττονος, εἰς ἰκτέρους μᾶλλον ἡ ἀπόθεσις ἐγένετο τῆς πλεοναζούσης χολῆς. ἐγένετο δ’ ἐνίοις καὶ διὰ γαστρὸς ἔκκρισις ταραχώδης ἢ δυσεντεριώδη ς, οἷς ἐν τεῦθεν ἔρρευσε τὸ περιττὸν 〈εἰς〉 τὴν κοιλία ν. [15]

17a 170 ἐκ τούτων οὖν τῶν 〈νῦν λεγομένων τε καὶ τῶν〉 προειρημένων καὶ μέντοι καὶ τῶν ἑξῆς εἰρησομένων οὐκ ἄδηλον ἔσται σοι τὰς ἐν τοῖς καύσοις αἱμορραγίας γίνεσθαι διὰ τὴν ἐπικρατοῦσαν ξανθὴν χολήν, ἥτις μεμειγμένη τῷ αἵματι διακαίουσά τε τοῦτο καὶ σὺν αὐτῷ πολλὴν θερμασίαν ἀναφέρουσα πρὸς τὴν κεφαλήν, ὅταν ῥήξῃ τὰς ἐν τῇ ῥινὶ φλέβας, αἱμορραγίας ἐργάζεται. Πολὺς μὲν οὖν καὶ μάλιστα ὁ χυμὸς οὗτος ἐπεπόλασε ν , ἐπεὶ καὶ οἷσι περὶ κρίσιν οὐχ ᾑμορράγησε ν , ἀλλὰ παρὰ τὰ ὦτα ἐπαναστάντα ἠφανίσθη · ( τούτων δὲ ἀφανισθέντων παρὰ τὸν κενεῶνα βάρος τὸν ἀριστερὸν καὶ εἰς ἄκρον ἰσχίο ν· ) ἀλγημάτων δὲ μετὰ κρίσιν γενομένων καὶ οὔρων λεπτῶν διεξιόντων αἱμορραγέειν σμικρὰ ἤρξατο περὶ τετάρτην καὶ εἰκοστή ν , καὶ ἐγένοντο εἰς αἱμορραγίαν ἀποστάσει ς · Ἀντιφῶντι Κριτοβούλου ἀπεπαύσατο καὶ ἐκρίθη τελέως περὶ τεσσαρακοστή ν . Διὰ κινδύνου 〈δεινοῦ〉 δηλονότι καὶ δι’ ἀγῶνος οὐ σμικροῦ τὸ σωθῆναι τούτοις ὑπῆρξε, μόγις ἀπὸ τῆς τετάρτης καὶ εἰκοστῆς ἕως τῆς τεσσαρακοστῆς δι’ αἱμορραγίας ὠφεληθεῖσιν. [15]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17a 171 Γυναῖκες δὲ ἐνόσησαν μὲν πολλα ί , [ οὐ κ ] ἐλάσσους δ ' ἢ ἄνδρες καὶ ἔθνῃσκον ἧσσο ν . 〈καὶ τὰ ἐφεξῆ c .〉 Εἰκὸς ἦν τὰς γυναῖκας ἧσσον τῶν ἀνδρῶν νοσῆσαι καὶ διακινδυνεῦσαι, ὡς δι' αἱμορραγίας τὰς κρίσεις ἐργασαμένας, ὡς ἂν ἐχούσας σύμφυτον βοήθημα τὴν ἔμμηνον κένωσιν. [6]

17a 172 ἐδυστόκησαν δὲ διὰ τὴν κατάστασιν ψυχρὰν οὖσαν. ἀλλὰ καὶ ἐν αἷς ἐφάνη τι νόσημα, καὶ αὗται διέφθειραν τὰ ἔμβρυα κατὰ τὸν αὐτὸν λόγον. Οὖρα δὲ τοῖς πλείστοισιν εὔχροα μέ ν , λεπτὰ δὲ καὶ ὑποστάσεις ὀλίγας ἔχοντα · ** Καὶ ταῦτα μὲν εἶναι λεπτὰ οὖρ α, τουτέστιν ὑδατώδη, φησὶ καὶ μέντοι καὶ μετ' ὀλίγα πάλιν ἔγραψεν· Οὖρα δὲ ὑδατώδεα πολλ ά , λεπτὰ μετὰ κρίσιν καὶ ὑποστάσιος πολλῆς γενομένης καὶ τῶν ἄλλων 〈καλῶς〉 κεκριμένων ἀναμνήσομαι οἷσιν ἐγένετ ο . [9]

17a 173 Διελθὼν τὰ ὀνόματα τῶν οὐρησάντων τοιαῦτα ἐφεξῆς φησι· Μετὰ δὲ ταῦτα δυσεντεριώδεες ἐγένοντο οὗτοι πάντε c . οὖρα ὅτι οὔρησαν ὑδατώδεα σκεπτέο ν . Εἰκὸς μὲν ἦν, [καὶ] διότι τοῖς οὔροις οὐκ ἐξεκαθάρθη, τὸ χολῶδες ἐπὶ γαστέρα ῥυὲν τὰς δυσεντερίας ἐργάσασθαι· εἰκὸς δὲ καὶ διὰ 〈τὸ〉 πολλὴν πλεονεξίαν τοῦ χυμοῦ τούτου γεγο νέναι, κἂν εἰ [μὴ] 〈πολλὰ〉 χολώδη τοῖς οὔροις ἐξεκενώθησαν, ἐκ τοῦ περιττεύοντος ἔτι κατὰ τὸ σῶμα τὴν δυσεντερίαν αὐτοῖς γενέσθαι. [7]

17a 174 Περὶ δ ' ἀρκτοῦρον ἑνδεκαταίοισι πολλοῖς ἔκρινε καὶ τούτοισιν οὐ κατὰ λόγον γινόμεναι ὑποστροφαὶ ὑπέστρεφο ν . ἦσαν δὲ καὶ κωματώδεες περὶ 〈τὸν〉 χρόνον τοῦτο ν , πλείω δὲ παιδί α , καὶ ἔθνῃσκον ἥκιστα οὗτοι πάντω ν . Εὔδηλον ὅτι τῆς κατὰ τὸ δεύτερον ἔτος ἐπιτολῆς ἀρκτούρου μέμνηται, γεγραμμένης ἐπὶ τέλει τῆς διηγήσεως. αὕτη τοίνυν 〈ἡ κατάστασις〉 ἐγένετο νότιος, τοὺς ὑετοὺς ἔχουσα μέχρι τῆς φθινοπωρινῆς ἰσημερίας. ἐν τούτῳ δὴ τῷ χρόνῳ φησὶν ἑνδεκαταίους πολλοὺς ἀσφαλῶς κριθῆναι, γενομένους ἅμα κωματώδεις διὰ τὴν νότιον δηλονότι κατάστασιν. διὰ δὲ τὴν αὐτὴν 〈ταύτην〉 καὶ αἱ κρίσεις αὐτοῖς ἐγένοντο βεβαιότεραι τῶν κατὰ τὸν ἄλλον χρόνον, ἡνίκα ἐπεκράτει τοῦ περιέχοντος ἡ ψυχρὰ κρᾶσις, ἐν ᾗ χρονίας ἔφη γενέσθαι τὰς κρίσεις. [10]

17a 175 τοῦ μέντοι μεταξὺ κυνὸς καὶ ἀρκτούρου 〈καιροῦ〉 , θερμὴν καὶ ξηρὰν ἔχοντος κατάστασιν, οὐκ ἐμνημόνευσεν, ἐν ᾗ μᾶλλον εἰκὸς ἦν ὀξέως κριθῆναι πολλού c, ὡς μηδὲ τὴν ἑβδόμην ὑπερβῆναι. μή τι οὖν τοῦτο μὲν ὡς οἰκεῖον τοῦ καιροῦ παρέλιπε, τὰ δ' ἐπιδημήσαντα μόνα διέρχεται. Περὶ δ ' ἰσημερίην 〈καὶ〉 μέχρι πληιάδος καὶ ὑπὸ χειμῶνα παρείποντο μὲν [ κα ὶ ] οἱ καῦσο ι , ἀτὰρ καὶ φρενιτικοὶ τηνικαῦτα πλεῖστοι ἐγίνοντο καὶ ἔθνῃσκον τούτων 〈οἱ〉 πλεῖστο ι . Τοὺς καύσους καὶ τὰς φρενίτιδας ὁ μὲν αὐτὸς ἐργάζεται χυμός, οὐ τὸν αὐτὸν δὲ τόπον ἔχων. ἐν μὲν γὰρ ταῖς εὐρυχωρίαις τῶν ἀγγείων περιεχομένης τῆς ξανθῆς χολῆς ἅμα τῷ αἵματι συμβαίνει, καθ' ὃν ἂν τόπον ἐκπυρωθῇ, τοὺς καύσους γίνεσθαι, καὶ μάλιστα ὅταν ἐν ταῖς κατὰ γαστέρα καὶ ἧπαρ ἢ κατὰ πνεύμονα φλεψὶν ἡ ζέσις γένηται τῆς χολῆς. [11]

17a 176 ὅταν δ' εἰς τὰ στερεὰ μόρια τοῦ σώματος ἀφικνῆται καὶ δι' αὐτῶν φέρηται, ῥῖγος ἐργάζεται. κατὰ δὲ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας στηριχθεῖσα τὰς φρενίτιδας ἐργάζεται. πρὶν δὲ στηριχθῆναι, διαρρέουσα κατὰ τὰς ἐν αὐταῖς φλέβας, οὐ φρενίτιδα c, ἀλλὰ τὰς ἐν ταῖς ἀκμαῖς τῶν πυρετῶν ἐπιφέρει παραφροσύνας. ἡ τοίνυν ἔμπροσθεν ἐν ταῖς κάτω φλεψὶ τὸν καῦσον εἰργασμένη χολὴ κατὰ τὴν ἀπ' ἀρκτούρου μέχρι τῆς ἰσημερίας νότιον κατάστασιν εἰς τὴν κεφαλὴν ἀναπεμφθεῖσα καὶ στηριχθεῖσα κατὰ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας ἐγέννησε τὰς φρενίτιδα c. Ἐγένοντο δὲ καὶ κατὰ τὸ θέρος ὀλίγο ι . Ὀλίγους φησὶ 〈 κατὰ τὸ θέρος〉 γεγονέναι φρενιτικού c· τὸ μὲν 〈γὰρ〉 ἄχρι κυνὸς αὐτοῦ μέρος ψυχρὸν ἦν, τὸ δὲ μέχρις ἀρκτούρου θερμὸν καὶ ξηρόν, ὥστ' οὐκ ἠδυνήθη πληρῶσαι τοῦτο μεταξὺ τὴν κεφαλήν, ὥσπερ οὐδ' ὁ περὶ τὸν ἀρκτοῦρον ἄχρι τῆς ἰσημερίας γενόμενος νότος. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17a 177 οὔτε γὰρ ὑγρὸν ἦν οὔτε νότιον οὔτε πολυχρόνιον τὸ μεταξὺ κυνός τε καὶ ἀρκτούρου. ἐρρέθη 〈δ’ ἀρτίως,〉 ὅτι χολῆς πολλῆς ἐνεχθείσης ἐν τοῖς κατὰ τὸν ἐγκέφαλον χωρίοις καὶ φρενίτιδες ἐγένοντο. Καὶ τοῖσι μὲν καυσώδεσιν ἀρχομένοισιν ἐπεσήμαινε ν , [ ἐ ν ] οἷς τὰ ὀλέθρια συνέπιπτεν · αὐτίκα γὰρ ἀρχομένοισι πυρετὸς ὀξύ c , σμικρὰ ἐπερρίγου ν , ἄγρυπνο ι , ἀδήμονε c , διψώδει c , ἀσώδεε c , σμικρὰ ἐφιδροῦντες περὶ μέτωπον καὶ κληῗδα c , [ αὖθι c ] οὐδεὶς διόλο υ , πολλὰ παρέλεγο ν , φόβο ι , δυσθυμία ι , ἄκρεα περίψυχρ α , πόδες ἄκρο ι , μᾶλλον δὲ τὰ περὶ χεῖρα c · οἱ παροξυσμοὶ ἐν ἀρτίῃς ι · τοῖς δὲ πλείστοισι τεταρταίοισιν οἱ πόνοι μέγιστοι καὶ ἱδρῶτες ἐπὶ πλεῖστον ὑπόψυχροι καὶ ἄκρεα οὐκέ τ ’ ἀναθερμαινόμεν α , ἀλλὰ πελιδν ά , ὑπόψυχρ α , οὐ δ ’ ἐδίψων ἔτι ἐπὶ τούτοισιν · οὖρα μέλαν α , λεπτ ά , ὀλίγα καὶ κοιλίαι ἐφίσταντο · οὐ δ ’ ᾑμορράγησεν ἐκ ῥινῶν οὐδεν ί , οἷσι ταῦτα συμπίπτο ι , ἀλλὰ σμικρὰ ἔσταξεν · οὐ δ ’ ἐς ὑποστροφὴν οὐδενὶ τούτων ἦλθε ν , ἀλ λ ’ ἑκταῖοι ἀπέθνησκον σὺν ἱδρῶτ ι .

17a 178 Ὥσπερ ἅπαντα τὰ κατὰ τοῦτο τὸ σύγγραμμα τῶν καθόλου λεγομένων αὐτῷ δι’ ἑτέρων βιβλίων παραδείγματά ἐστι τὴν ἐξέτασιν ἐν τοῖς καθ’ ἕκαστον λαμβάνοντι δι’ αὐτοψίας, κατὰ τὸν αὐτὸν τρόπον καὶ ταῦτα τὰ νῦν λεγόμενα. τοῖς γὰρ ὀλεθρίοις καύσοις γενέσθαι συμπτώματά φησι κα τ ’ ἀρχὰς ἐπιρριγοῦντας καὶ ἀγρυπνοῦντας καὶ ἀσώδεις 〈καὶ ἀδημονοῦντας καὶ〉 ἐφιδροῦντας μικρὰ περὶ μέτωπον καὶ κλεῖδα c. τὸ μὲν γὰρ ὀξύν τε τὸν πυρετὸν αὐτοῖς εἶναι καὶ δίψος παρεῖναι τῆς τοῦ πάθους φύσεως ἴδια, καὶ ταῦτα τῆς κακοηθείας ἴδια, τό τε ῥιγοῦν εὐθέως ἐν ἀρχ ῇ.

17a 179 καὶ γὰρ κρίνειν εἴωθε τοὺς καυσώδεις πυρετοὺς τὸ ῥῖγο c, οὐ μὴν αὐτίκα γ’ ἐπιφαίνεσθαι χρὴ τὰ κρίσιμα. τὸ δὲ τῆς ἀγρυπνίας καὶ τῆς ἀδημονίας σύμπτωμα διὰ παντός ἐστι μοχθηρόν, οὐ κατὰ μόνην τὴν ἀρχήν, ὥσπερ γε καὶ τὸ ἐφιδροῦ ν. τὸ δὲ παραλέγειν, ὅπερ ἐστὶ παρὰ τὰ κατὰ φύσιν λέγειν, τουτέστι παραφρονεῖν, βεβλαμμένον δηλοῖ τὸν ἐγκέφαλον *** . οἵ γε μὴν φόβοι δριμείας ἱκανῶς καὶ κατωπτημένης τῆς ξανθῆς χολῆς εἰσι συμπτώματα. συγγενεῖς δὲ τοῖς φόβοις εἰσὶ καὶ αἱ δυσθυμία ι. ἡ δὲ τῶν ἄκρων περίψυξις ὀλεθριώτατον καύσοις ἐστὶ σύμπτωμά τε καὶ σημεῖον, ὥσπερ γε καὶ τὸ παρανοῆσαι, διὰ τὴν τοῦ πυρετοῦ θερμασίαν ἐκπυρουμένης τῆς κεφαλῆς. ἴδιον δ’ ἐστὶ καὶ οἰκεῖον ὀξέων πυρετῶν καὶ τὸ διακαίεσθαι τοῖς ἄκροις τοῦ σώματος μέρεσιν. ἐάν ποτ’ οὖν καταψύχηται ταῦτα, διακαιομένων τῶν περὶ τὰ σπλάγχνα χωρίων, ἐν μὲν τοῖς μέσοις τοῦ σώματος ἠθροῖσθαι δηλοῦται τὸ αἷμα, τὰ δ’ ἄκρα λειφαιμεῖν τε καὶ καταψύχεσθαι καὶ νεκροῦσθαι τελέως, ἀπολιπούσης ἤδη τῆς φύσεως αὐτά. καὶ μὴν καὶ [εἰ] οἱ παροξυσμοὶ κατὰ τὰς ἀρ τίους ἡμέρας γιγνόμενοι κατ’ ἀρχὴν εὐθέως ἐνίοτε μὲν ἑκταίαν προδηλοῦσιν ἔσεσθαι 〈τὴν〉 κακίστην κρίσιν, ἐνίοτε δὲ εἰς μῆκος ἐκταθήσεσθαι τὸ νόσημα.

17a 180 καὶ ὅταν γε σφοδρῶς κινῆται, τῆς τετάρτης μοχθηρὸν παροξυσμὸν ἐχούσης, ἀποθνήσκουσιν ἑκταῖοι, καθάπερ καὶ οὗτοι περὶ ὧν ὁ λόγος ἐστίν. τεταρταίοις οὖν αὐτοῖς φησι τούς τε πόνους μεγίστους γενέσθαι, τουτέστιν ἅπαντα τὰ ὀδυνώδη συμπτώματα, καὶ ἱδρῶτας ὑποψύχρους ἐπὶ πλεῖστο ν. τούτοις μὲν οὖν καὶ ὅτι καὶ ἡ ἕκτη τὸν θάνατον οἴσει με θ ’ ἱδρώτων πρόδηλον. τὸ δὲ καὶ τὰ ἄκρα πελιδνὰ γενέσθαι καὶ μηκέ τ ’ ἀναθερμαινόμενα νεκρώσεώς τε σημεῖόν ἐστι καὶ βέβαιον γνώρισμα τοῦ μὴ δύνασθαι τῆς ἕκτης ἡμέρας ἐξωτέρω τὴν δύναμιν ἐξαρκέσαι. ἐκ περιουσίας δέ τι καὶ ἄλλο σημεῖον αὐτοῖς ὀλέθριον προσεγένετο, τὸ μηκέτι διψῆν, καίτοι πρότερον ἐκαυσοῦντο. δυοῖν δὲ δήπου τούτοιν ἀναγκαῖόν ἐστι τὸ ἕτερον εἶναι· τὸ τοὺς διακαιομένους ἔμπροσθεν ὑπὸ δίψης ὕστερον ἀδίψους γενέσθαι ἤτοι λύσιν τοῦ νοσήματος ἢ νέκρωσιν τῆς δυνάμεως, ὡς μηκέτ’ αἰσθάνεσθαι τῶν παρόν των κακῶν.

17a 181 ἀλλ’ οὐκ ἐγένετο τούτοις λύσις, ὡς ὀλεθρίων ὄντων 〈τῶν〉 συμπτωμάτων, ὥστ’ ἀναισθησίας ἦν σημεῖον αὐτοῖς τὸ μὴ διψῆ ν. ταῦτα μὲν οὖν ἅπαντα τὰ εἰρημένα συμπτώματα κακοήθη τε [πάντα] ἐστὶ δεινῶς καὶ ὀλέθρια, σὺν αὐτοῖς δ’ οὐχ ἥκιστα καὶ τὰ οὖρα μέλανά τε καὶ [λεπτὰ]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀλίγα γενόμενα, μέλανα μέν, ὡς ἂν ἤδη κατωπτημένου τοῦ χολώδους χυμοῦ, ὀλίγα δὲ διὰ τὸ ἐκπεφρύχθαι τὴν ἰκμάδα πᾶσαν [ἐκ] τοῦ αἵματος ὑπὸ [τε] τοῦ καυσώδους πυρετοῦ κἀκ [τοῦ] τῶν οὐρητικῶν ὀργάνων ἤδη νενεκρωμένων, διὰ δὲ τὰς αὐτὰς αἰτίας καὶ κοιλίαι ἐφίσταντ ο. καὶ μὲν δὴ καὶ τὰς ἐκ ῥινῶν στάξει ς , ὀλέθριον οὖσας σημεῖον καὶ ἄλλως μέν, ἐν καύσοις δὲ μάλιστα, γενέσθαι φησὶν αὐτοῖς. ὅτι δ’ ὀλεθριώτατον τοῦτο τοῖς καύσοις δῆλον, εἴ γε μάλιστα οἰκεῖόν ἐστι 〈καὶ σωτήριον αὐτοῖς τὸ σφοδρῶς〉 αἱμορραγῆσα ι. Τοῖσι δὲ φρενιτικοῖσι [ οἷσιν ο ὐ ] συνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα ἅπαντ α , ἔκρινε 〈δὲ〉 τούτοισιν ὡς τὸ πολὺ ἑνδεκαταίοισι ν , ἔστι δ ’ οἷσιν εἰκοσταίοισι ν . [13]

17a 182 Τοῖς ἄνευ τοῦ καυσωθῆναι φρενιτικοῖς γενομένοις τὰ εἰρημένα συ〈μπτώματα〉 συνέπεσεν ἅπαντα, τοῖς δὲ μετὰ τοῦ καυσωθῆναι περὶ τὴν ἕκτην ἡμέραν ὁ θάνατος ἐγένετο, διπλασιασθέντος αὐτοῖς τοῦ κακοῦ. 〈ὅσοις δ’ ἄνευ τοῦ καυσωθῆναι〉 φρενῖτις ἐγένετο, περὶ [δὲ] τὴν ἑνδεκάτην ἡμέραν ἀκολουθῆσαί φησι τὴν κρίσι ν , ἐνίοις δὲ κατὰ τὴν εἰκοστή ν. Οἷσιν εὐθὺς οὐκ ἐξ ἀρχῆς ἡ φρενῖτις ἤρξατο περὶ τρίτην ἢ τετάρτην ἡμέρα ν , ἀλλὰ μετρίως ἔχουσιν ἐν τῷ πρώτῳ χρόνῳ περὶ τὴν ἑβδόμην εἰς ὀξύτητα τὸ νόσημα μετέπεσε ν . Οἷς μὲν περὶ τὴν τρίτην ἢ τετάρτην ἡμέραν 〈ἡ φρενῖτις〉 ἤρξατο, διεκόπη δὲ μεταξύ, κρίσεως ἡμιρρόπου γενομένης, 〈κατὰ τὰς προτέρας ἡμέρας ἐπιρριγοῦσι, τούτοις εἰς τὴν εἰκοστὴν ἐξετάθη.〉 τὸ δὲ σφοδρῶς ὀξὺ τῆς φρενίτιδος οὐκ ἔσχον οἱ νοσοῦντες. [15]

17a 183 ἐθεασάμεθα γοῦν 〈πολλάκις〉 ἤδη καὶ τοιαύτας φρενίτιδας. Πλῆθος μὲν οὖν τῶν νοσημάτων ἐγένετ ο . ἐκ δὲ τῶν καμνόντων ἀπέθνῃσκον μάλιστα μειράκι α , νέο ι , ἀκμάζοντε ς , λεῖο ι , ὑπολευκόχρωτε ς , ἰθύτριχε ς , 〈μελανότριχε ς ,〉 μελανόφθαλμο ι , οἱ εἰκῇ καὶ ἐπὶ τὸ ῥᾴθυμον βεβιωκότε ς , ἰσχνόφωνο ι , τρηχύφωνο ι , τραυλο ί , ὀργίλο ι . καὶ γυναῖκες πλεῖσται ἐκ τούτου τοῦ εἴδεος ἀπέθνῃσκο ν . Ὥσπερ ἔμπροσθεν ἔφην αὐτὰ μὲν τὰ γενόμενα σαφῶς αὐτὸν διηγεῖσθαι, προστίθεσθαι δ’ ὑφ’ ἡμῶν τὰς αἰτίας, οὕτω νῦν φημι καὶ αὐτὴν τὴν τοῦ λόγου διάνοιαν οὐκ εἶναι σαφῆ. πότερον γὰρ ἐπὶ φρενιτίδων μόνων 〈αὐτὸν〉 ἀκούειν χρὴ τῶν εἰρημένων ἢ ἐπὶ πάντων τῶν νοσημάτων ὧν προείρηκεν ἄδηλον. καὶ γὰρ οὖν αὐτὴν τὴν ἀρχὴν τοῦ προκειμένου λόγου διαφερόντως γράφουσιν· ἔνιοι μὲν ὡδί πως· πλῆθος δὲ τῶν νοσημάτων ἐγένετο, περὶ τῶν φρενιτικῶν αὐτῶν μόνων, οἷς ἐπενήνεκται ταῦτα, βουλόμενοι τὸν λόγον εἶναι. [10]

17a 184 τινὲς δὲ ὡδί· πλῆθος μὲν οὖν ἐγένετο τῶν νοσημάτων, περὶ πάντων αὖ πάλιν οὗτοι τῶν εἰρημένων ἀξιοῦντες εἶναι τὸν λόγον. εἰ μὲν ἐπὶ πάντων ἀκούοιμεν ἄνευ τοῦ διορίσασθαι, κατὰ τίνα μὲν τά τε μειράκια καὶ 〈οἱ〉 νέοι καὶ ἀκμάζοντες ἀπόλλυνται, κατὰ τίνα δ’ οἱ λεῖοι καὶ ὑπολευκόχρωτε ς, κατὰ τίνα δ’ οἱ ἰθύτριχες καὶ μελανότριχες καὶ μελανόφθαλμοι, κατὰ τίνα δ’ οἱ εἰκῇ καὶ ἐπὶ τὸ ῥᾴθυμον βεβιωκότε ς, ἢ πάλιν ἐν τίσι 〈μὲν〉 οἱ ἰσχνόφωνοι 〈καὶ τρηχύφωνοι 〉 , ἐν τίσι δ’ οἱ τραυλο ί, ὥσπερ καὶ ὀργίλοι μὲν ἐν τίσι, γυναῖκες δ’ ἐν τίσιν, εἰ μὴ πάντα ταῦτα διορισθείη, πλέον οὐδὲν ἡμῖν οὔτ’ εἰς πρόγνωσιν οὔτ’ εἰς θεραπείαν ἐκ τῶν εἰρημένων ὑπάρξει. εἰ δὲ μὴ περὶ πάντων τῶν νοσημάτων, ἀλλὰ περὶ ὧν τὸν λόγον ἐποιεῖτο μόνων τῶν φρενιτικῶν ἀκούοιμεν εἰρῆσθαι ταῦτα, χαλεπώτατόν ἐστι καὶ οὕτως εὑρεῖν τὰς αἰτίας, δι’ ἃς ἀπώλλυντο οἱ πλεῖ στοι τῶν εἰρημένων. [15]

17a 185 〈καὶ〉 μέντοι καὶ αὐτὸ τὸ τοὺς πλείστους ἀπόλλυσθαι διττὸν εἶναι 〈δοκεῖ,〉 τὸ μὲν ἕτερον, ἐπειδὴ πολλοὶ τῶν τοιούτων ἑάλωσαν τῷ φρενιτικῷ νοσήματι θανατώδη σχόντι τὴν τότε ἐπιδημίαν, διὰ τοῦτο εἰρῆσθαι πολλοὺς αὐτῶν διαφθαρῆναι, τὸ δ’ ἕτερον, ἐπεὶ τῶν ἁλόντων τῇ φρενίτιδι τοὺς πλείστους ἀπολωλότας ἠκούσαμεν· ὥστε καὶ τὴν αἰτιολογίαν γίνεσθαι διττήν, ὡς τὸ μὲν πάντας, οὓς εἶπεν ἐπιτηδείους, ἁλῶναι τῷ φρενιτικῷ πάθει κατὰ τὴν προκειμένην κατάστασιν ἐπιδεικνύντων ἡμῶν, 〈τὸ δὲ〉 τῶν φρενιτισάντων τοὺς τοιούτους μάλιστα ἀποθανεῖν. ἡ μὲν οὖν ἀσάφεια τοῦ λόγου τοιαύτη ἐστὶ καὶ τοιαύτη, προηγεῖσθαι δ’ αὐτῆς 〈τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξηγήσεως δεῖ τὸ〉 εὑρεῖν τὴν κρᾶσιν ἑκάστου τῶν εἰρημένων. οὐ γὰρ οἷόν τε συνῆφθαι τῇ καταστάσει τὸν λόγον ἄνευ τούτου. φαίνεται δ’ ἐν οἷς εἶπεν ὁ Ἱπποκράτης ἡλικιῶν μὲν θερμοτάτων μνημονεύων, ( μειράκια γάρ, φησί, καὶ νέοι καὶ ἀκμάζοντε c,) φύσεων δὲ δυσδιαπνεύστων· καὶ γὰρ οἱ λεῖοι καὶ οἱ ὑπολευκόχρωτε c, 〈οἱ〉 ἰθύτριχές τε καὶ οἱ μελανότριχες καὶ οἱ μελανόφθαλμοι καὶ οἱ εἰκῇ [καὶ ἡσυχῇ] καὶ ἐπὶ τὸ ῥᾴθυμον βεβιωκό τες ἐδείχθησαν ἡμῖν ἐν ἄλλοις τέ τισιν ὑπομνήμασι καὶ ἐν τοῖς Περὶ κράσεων ἧττον διαπνεόμενοι, διότι καὶ ψυχρότεροι ταῖς κράσεσίν εἰσιν.

17a 186 καὶ διὰ τὴν αὐτὴν αἰτίαν καὶ γυναῖκας διὰ τὴν ἔμμηνον κάθαρσιν ἧσσον ἠδίκησεν ἡ κατάστασις, ὡς ἔμπροσθεν εἶπεν, αἱ δ ’ ἀποθανοῦσαι ἐκ τούτου τοῦ εἴδους ἦσαν. λοιπὸν οὖν ἐστιν ἐπισκέψασθαι περὶ τῶν ἰσχνοφώνων καὶ τραχυφώνων καὶ τραυλῶν καὶ ὀργίλων, καὶ πρῶτον 〈μὲν περὶ τῶν πρῶτον〉 γεγραμμένων, τῶν ἰσχνοφώνω ν. εἰ μὲν οὖν οὕτως εἴη γεγραμμένον, τοὺς ἰσχνοὺς τὴν φωνὴν 〈ἂν ἀκούοιμεν〉 · ἰσχνόφωνοι γὰρ ἔτι καὶ νῦν λέγονταί τινες, ὥσπερ γε καὶ λεπτόφωνοι. ταὐτὸ 〈μὲν〉 οὖν ἑκατέρου 〈τοῦ〉 ὀνόματος σημαίνοντος, διαφέρουσιν οὗτοι τῶν ἰσχοφώνων, ὡς ἐν τοῖς Περὶ φωνῆς εἴρηται, καὶ δέδεικται γίνεσθαι 〈τοὺς μὲν λεπτοφώνους〉 διὰ τὴν στενότητα τῆς τραχείας ἀρτηρίας τοῦ λάρυγγος, τοὺς δὲ ἰσχομένους τὴν φωνὴν διὰ τὴν φυσικὴν μοχθηρίαν τῶν κινούντων τὸν λάρυγγα μυῶν. ἑκάτεροι δὲ δι’ ἀρρωστίαν τῆς ἐμφύτου θερμασίας ἀποτελοῦνται τοιοῦτοι κατὰ τὴν πρώτην διάπλασιν.

17a 187 ὥσπερ δ’ ἐν τοῖς τὸν λάρυγγα κινοῦσι μυσὶ φαυλότερον ἐξ ἀρχῆς οἱ ἰσχόφωνοι διεπλάσθησαν, οὕτως 〈ἐν〉 τοῖς τὴν γλῶτταν οἱ τραυλο ί. 〈καὶ μέντοι〉 τραχύφωνοι γίνονται διὰ τὴν τραχύτητα τῶν φωνητικῶν ὀργάνων. ὀνομάζω δ’ ὄργανα φωνητικὰ δι’ ὧν ἐκπεμπομένου τοῦ πνεύμα〈τος〉 φωνὴ γίνεται. ταῦτα δ’ ἐστὶν ἡ τραχεῖα ἀρτηρία καὶ ἡ φάρυγξ καὶ ὁ λάρυγξ, οἷον πλῆκτρον τοῦ φερομένου δι’ αὐτοῦ πνεύματος. ἐδείχθη γὰρ οὗτος ὄργανον 〈ὢν〉 φωνῆς, ὡς διαλέξεως γλῶττα. βραχὺ δὲ πρὸς γένεσιν 〈φωνῆς〉 καὶ ἡ φάρυγξ συντελεῖ, δασεῖαν αὐτὴν ἐργαζομένη. ταῦτ’ οὖν τὰ ὄργανα λεῖα μὲν ὄντα λείαν ἐδείχθη καὶ τὴν φωνὴν ἐργαζόμενα, τραχέα 〈δὲ〉 τραχεῖαν. ἡ δὲ τραχύτης αὐτῆς ἐδείχθη διὰ ξηρότητα γινομένη. τὰ μέντοι 〈 μειράκια καὶ οἱ νέοι καὶ οἱ ἀκμάζοντες ἐν ταῖς φύσεσιν ἐπικρατοῦσαν ἔχουσι τὴν θερμασίαν, τὰ δ’〉 ἄλλα πάντα μετὰ τὰς ἡλικίας ἄχρι δεῦρο λελεγμένα ψυχρᾶς ἐστι κράσεως σημεῖα. μόνη δ’ ἡ ξηρότης ἀμφοτέραις ταῖς κράσεσι συνέρχεται, τῇ τε ψυχρᾷ καὶ τῇ θερμῇ. τοῖς μὲν οὖν ἅμα τῷ ξηρῷ τῆς κράσεως ψυχροῖς οὖσι δυσδιαπνεύστοις εἶναι συμβήσεται, καθάπερ καὶ τοῖς προειρημένοις. ὅσοι δὲ 〈ξηρότεροι καὶ〉 θερμότεροι τούτων ὑπάρχουσιν, 〈αὐτοῖς〉 οὐκ εἰκότως ὑπάρχει τοῦτο, διὸ καὶ τοὺς μὲν ἐξέλωμεν τοῦ λόγου, τοῖς δ’ ἄλλοις φῶμεν 〈τοῖς ἅμα τῷ ξηρῷ ψυχρ〉οῖς ἐφαρμόττειν τὸν λόγον.

17a 188 ἦν δὲ προκείμενον 〈τὸ〉 ἀποθανεῖν πολλοὺς ἐξ ὧν κατέλεξεν ἡλικιῶν τε καὶ φύσεων. ἔλεγον δ’ 〈ἐκείνας τὰς〉 ἡλικίας εἶναι θερμάς, ἐν αἷς ὁ πικρόχολος πλεονάζει χυμός, τὰς φύσεις δὲ δυσδιαφορήτους, ὥστ’ 〈ἐξηγησαμένοις ἡμῖν〉 ἄχρι μὲν τοῦδε τὴν ἀρχὴν ὧν εἴρηκε μόνον ἔτι λείπεται περὶ 〈τῶν ὀργίλων, τουτέστι〉 τῶν ὀξυθύμων εἰπεῖν, οὓς ἐναντιωτάτους φασὶ τοῖς θυμώδεσιν ὄντας. ἀνδρεῖοι μὲν γάρ εἰσιν οἱ θυμώδεις καὶ καταφρονητικοὶ τῶν μικρῶν πραγμάτων. μικρόψυχοι δ’ εἰσὶν οἱ ὀξύθυμοι 〈καὶ τῇ τῶν γυναικῶν φύσει συγγενεῖς, καὶ διὰ τὴν αὐτὴν αἰτίαν τὰς γυναῖκας εὑρίσκομεν ὀξυθύμους,〉 διότι τὸ γενναῖον τῆς τῶν ἀνδρῶν ψυχῆς οὐκ ἔχουσιν, ὥστε καὶ οἱ ὀξύθυμοι ψυχρότεροί τε ταῖς κράσεσι καὶ δυσδιαφόρητοι γενήσονται. τὸ δ’ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον καὶ γυναῖκες πλεῖσται ἐκ τούτου τοῦ εἴδεος ἀπέθνησκον 〈ἅ〉 δηλόν ἐστιν εἴτε πρὸς τὸ τέλος ἀναφέρειν χρὴ μόνον εἴτε πρὸς πάντα τὰ προειρημένα. τελευταῖοι δ’ αὐτῶν εἰσιν οἱ ὀξύθυμοι καὶ αὐτοῖς τῶν γυναικῶν τὰς συγγενεῖς τοῦ εἴδους τούτου πλείστας ἀποθνῄ σκειν ἐπενήνεκται.

17a 189 δύναταί γε μὴν ἀληθὴς ὁ λόγος εἶναι κατ’ ἄμφω, καὶ πρὸς πάντα τὰ προειρημένα τὴν ἀναφορὰν ποιουμένου τοῦ Ἱπποκράτους καὶ πρὸς μόνον τὸ τελευταῖον. εἰ δὲ τὸ πρὸς πάντα ἀναφέρειν ἀληθές ἐστιν, ἄμεινον οὕτως ἀκούειν. ἐν μὲν γὰρ τοῖς πᾶσι καὶ τὸ τελευταῖον εἰρημένον περιέχεται, κατὰ τοῦτο δ’ οὐκέτι τὰ πάντα λέλεκται. τὰς μέντοι γυναῖκας 〈πλείστας ἐκ〉 τοῦ εἴδους ἀποθανεῖν τούτου λέγειν αὐτὸν 〈γνωστέον, τὸ πλῆθος αὐτῶν〉 οὐ τοῖς ἀνδράσι παραβάλλοντα, προείρηται γὰρ ἀνωτέρω· “γυναῖκες δ’ ἐνόσησαν μὲν πάμπολλαι, ἐλάσσους δ’ ἢ ἄνδρες, καὶ ἔθνησκον ἧσσον. ἀλλ’ ὁ νῦν λόγος αὐτοῦ τοιοῦτός τίς ἐστι· “τῶν γυναικῶν, ὅσαι τοῖς εἰρημένοις πάθεσιν ἑάλωσαν, ἀπέθνῃσκον μᾶλλον ὅσαι τῆς προειρημένης ἰδέας ἦσαν.” Ἐν δὲ τῇ καταστάσει ταύτῃ ἐπὶ σημείων μάλιστα τεσσάρων διεσῴζοντο · οἷσι γὰρ ἢ διὰ ῥινῶν καλῶς αἱμορραγήσαι ἢ κατὰ κύστιν οὖρα πολλὰ καὶ πολλὴν ὑπόστασιν καὶ καλὴν ἔχοντα ἔλθοι ἢ κατὰ κοιλίην ταραχώδεα χολώδεα 〈ἐπικαίρως〉 ἢ δυσεντερικοὶ γένοιντ ο . [15]

17a 190 πολλοῖς δὲ συνέπιπτε μὴ ἐ φ ’ ἑνὸς κρίνεσθαι τῶν ὑπογεγραμμένων σημείω ν , ἀλλὰ διεξιέναι διὰ πάντων τοῖς πλείστοισι καὶ δοκεῖν μὲν ἔχειν ὀχληροτέρω ς · διεσῴζοντο δὲ πάντε ς , οἷσι ταῦτα συμπίπτο ι . 〈καὶ τὰ ἐφεξῆς 〉 . Καὶ οὗτος ὁ λόγος σαφὴς καὶ ὁ ἐφεξῆς, ἔνθα περὶ τῶν γυναικῶν διαλέγεται. κεφάλαιον γάρ ἐστιν ὃ διδάσκει, τοὺς μὲν δ ι ’ αἱμορραγία ς, τοὺς δὲ δ ι ’ οὔρων ἢ διαχωρημά τω ν, ἐνίους δὲ καὶ εἰς δυσεντερίαν ἀποσκηψάντων τῶν αἰτίων δυνηθῆναι σωθῆναι. [7]

17a 191 Οἷσιν ἐν πυρετοῖσιν 〈ὀξέσ ι , μᾶλλον δὲ〉 καυσώδεσιν 〈ἀέκουσι〉 δάκρυα ἀπορρε ῖ , τούτοισιν ἀπὸ ῥινῶν αἱμορραγίαν προσδέχεσθα ι , ἢν καὶ τὰ ἄλλα ὀλεθρίως μὴ ἔχωσιν · ἐπὶ τοῖσι δὲ φλαύρως ἔχουσιν οὐχ αἱμορραγίη ν , ἀλλὰ θάνατον σημαίνε ι . Ἕν τι καὶ τοῦτο τῶν αἱμορραγικῶν σημείων παραλελειμμένον αὐτῷ διὰ τῶν ἔμπροσθεν εἴρηται νῦν, ἔστι δ’ ἱκανῶς ὁ λόγος σαφὴς τοῖς μεμνημένοις ὧν ἔμπροσθεν εἶπε [καὶ] κατὰ τοῦτο τὸ βιβλίον ὧν τε ἐν τῷ Προγνωστικῷ. καί μοι λέλεκται ταῦτα πάντα μετὰ τῶν οἰκείων διορισμῶν ἐν τοῖς εἰς τὸ Προγνωστικὸν ὑπομνήμασι καὶ ἐν τοῖς Περὶ κρίσεων. 〈Τὰ〉 παρὰ τὰ ὦτα ἐν πυρετοῖσιν ἐπαιρόμενα με τ ’ ὀδύνης ἔστιν οἷσιν ἐκλείποντος τοῦ πυρετοῦ κρισίμως [ ἔστι ν ] οὔτε καθίστατο οὔ τ ’ ἐξεπύει · τούτοισι διάρροια χολωδέων ἢ δυσεντερίη ἢ παχέων οὔρων ὑπόστασις γενομένη ἔλυσε ν . [5]

17a 192 Χρησιμώτατόν ἐστιν ἡμᾶς τῶν εἰρημένων ἀρτίως ἀναμνησθῆναι πρὸς τὸ μὴ διὰ παντὸς ἡγεῖσθαι τὰς παρωτίδας ἀνεκπυήτους μενούσας μοχθηρὸν εἶναι σημεῖον· ἐν γὰρ τῇ προκειμένῃ καταστάσει τοὺς μὲν πυρετούς φησι παύσασθαι κρισίμως ἐνίοι ς, ὅπερ ἐστὶν ἐν ἡμέρᾳ κρισίμῳ καὶ μεθ’ ἱδρῶτος ἤ τινος ἄλλου τῶν οὕτω κρινόντων, ἔτι 〈δὲ〉 διαμεῖναι τὰς παρωτίδα ς, εἶτα ἐν τῷ χρόνῳ προιόντι καταστῆναι δι’ ὧν εἶπεν οὔρων καὶ διαχωρημάτων καὶ δυσεντερία ς, ἐκκαθαρθέντων τῶν τὴν νόσον ἐργαζομένων αἰτίων. Τὰ δὲ περὶ τὰς κρίσια ς , ἐξ ὧν καὶ διεγινώσκομε ν , ἢ ὅμοια ἢ ἀνόμοι α . [13]

17a 193 Ὅσα περὶ κρίσεων ἢ κρισίμων ἡμερῶν αὐτῷ λέλεκται, πάντα κατὰ δύο πραγματείας ἔχεις ἠθροισμένα πρὸς ἡμῶν, τήν τε Περὶ τῶν κρισίμων 〈ἡμερῶν〉 καὶ 〈τὴν Περὶ〉 κρίσεων. ἀλλὰ καὶ νῦν διὰ βραχέων εἰρήσεται τὸ κεφάλαιον τοῦ λόγου. τὰ περὶ κρίσιάς φησι κατὰ τὶ μὲν ὅμοι α, κατὰ τὶ δὲ ἀνόμοια γενέσθαι. κἄπειτα παρατίθεται πολλοὺς ἐξ ὑποστροφῆς καὶ αὐτοὺς κατὰ τὰς αὐτὰς προθεσμίας ἑπτακαιδεκαταίους κριθέντας τὸ σύμπαν, εἶτ’ ἄλλους εἰκοσταίους ἐξ ὑποστροφῶν καὶ αὐτοὺς οὐχ ὁμοίως γενομένους. παραδείγματος δὲ χάριν μέμνηται πρῶτον ἀδελφῶν δύο ἐν τῇδε τῇ ῥήσει· 〈Οἷον οἱ〉 δύο ἀδελφο ί , 〈οἳ〉 ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην · κατέκειντο παρὰ τὸ θέατρον 〈Ἐπιγένεος ἀδελφεοί ·〉 τούτων τῷ πρεσβυτέρῳ ἔκρινεν ἑκταί ῳ , τῷ δὲ νεωτέρῳ ἑβδομαί ῳ . [10]

17a 194

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπέστρεψεν ἀμφοτέροισιν ὁμοῦ τὴν αὐτὴν ὥρην · διέλιπεν ἡμέρας πέντ ε . ἐκ δὲ τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροις ὁμοῦ τὸ σύμπαν ἑπτακαιδεκαταίοι ς . Τὸ μὲν χρήσιμον τοῦ λόγου πρόδηλον ἐπὶ τῶν εἰρημένων ἐστί, τὸ δ’ ἄχρηστον ἄδηλον, ὥστ’ οὐ ζητεῖν αὐτὸ προσήκει. ἀλλ’ οἱ μὲν τὰ 〈μὴ〉 χρήσιμα σπουδάζοντες ἑαυτοῖς πράγματα παρέχουσι, ζητοῦντες, πῶς εἰπὼν ὁ Ἱπποκράτης τῷ μὲν πρεσβυτέρῳ τὴν κρίσιν ἑκταίῳ γενέσθα ι , τῷ δὲ νεωτέρῳ ἑβδομαίῳ καὶ μετὰ ταῦτα πάλιν εἰπών· ὑπέστρεψεν ἀμφοτέροις ὁμοῦ τὴν αὐτὴν ὥρην ἐπήνεγκε· διέλιπεν ἡμέρας πέντ ε. οὐ γὰρ ἀμφοτέροις δυνατὸν εἶναι τὰς πέντε διαλιπεῖν, ἀλλὰ τῷ ἑτέρῳ μόνῳ. καίτοι γε καὶ δυνατόν ἐστιν αὐτὸ τοῦθ’ ὃ λέγουσιν ἀκοῦσαι περὶ μόνου τοῦ ἑνός, τοῦ δευτέρου κατὰ τὴν διήγησιν εἰρημένου, τοῦ κριθέντος ἑβδομαίου τὴν πρώτην κρίσιν. [15]

17a 196 καὶ εἰ δὴ τούτῳ διέλιπεν ἡμέρας πέντ ε, πρόδηλον ὅτι τῷ κατὰ τὴν ἕκτην ἡμέραν κριθέντι [κατὰ τὴν δευτέραν ἡμέραν κριθέντος] διέλιπεν ἕξ. ἐγχωρεῖ δὲ κατ’ ἀρχὴν εὐθὺς ὑπὸ τοῦ βιβλιογράφου τὴν λέξιν ἁμαρτηθεῖσαν φυλαχθῆναι, καθάπερ καὶ ἄλλαι πολλαὶ τοῦτο πεπόνθασι παρά τε τῷ Ἱπποκράτει καὶ ἄλλοις οὐκ ὀλίγοις. ὃ δὲ λέγω σφάλμα τοῦ βιβλιογράφου γενέσθαι, τοιόνδε ἐστίν· ἐνεδέχετο γεγράφθαι μὲν ὡδί πως τὴν λέξιν· “διέλιπεν ἡμέρας ἓξ τῷ μὲν ἑτέρῳ, τῷ δ’ ἑτέρῳ πέντε”, ἐκγράψαι δὲ τὸν ἁμαρτάνοντα 〈μόνον τὸ〉 διέλιπε πέντ ε, καὶ πιθανώτερόν ἐστι τῷ μὲν πρεσβυτέρῳ τὰς ἓξ διαλιπεῖ ν , τῷ δὲ νεωτέρῳ τὰς πέντ ε , τῆς γ ’ ὑποστροφῆς ἅμα ἀμφοτέροις γενομένης κατὰ τὴν δωδεκάτην ἡμέραν. ἐφεξῆς γοῦν φησιν· “ἔκρινε δὲ τοῖσι πλείστοισιν ἑκταίοισι, διέλιπεν 〈ἕξ, ἐκ δὲ τῶν ὑποστροφέων ἔκρινε〉 πεμπταίοισιν”, ὥστ’ εἰκάσαι τοὺς ἀδελφοὺς ἐκ〈είνους〉 τῶν τοῖς πλείστοις γενομένων κρίσεων καὶ αὐτοὺς εἶναι παράδειγμα. μετά γε μὴν τὴν τούτων διήγησιν καὶ ἄλλας κρίσεις ἔγραψε πολυειδεῖς, ἁπάσας τῇ ἑπτακαιδεκάτῃ περιγραφομένας ἡμέρᾳ, τοιαύτην δ’ οὐδεμίαν, οἵαν ἐπὶ τῶν δύο ἀδελφῶ ν. [15]

17a 197 ἐγὼ 〈δέ〉 φημι δεῖν ἀκούειν, ὡς ὑποστρέψαι κατὰ τὴν δωδεκάτην ἡμέραν αὐτοὺς ἀμφοτέρου ς, τῷ νεωτέρῳ διαλιπόντος τὰς πέντ ε. πιθανὸν μὲν 〈οὖν〉 οὕτως ἐν αὐτοῖς εἰρῆσθαι, ἵνα τό τε πρὸς τοὺς ἄλλους κοινὸν αὐτοῖς διασῴζηται, τὸ [τε] ἐξ ὑποστροφῆς ἑπτακαιδεκαταίους κριθῆναι, καὶ τὸ ἴδιον, ὅτι περὶ τὴν δωδεκάτην ὑπέστρεψεν. καὶ καλὸν δ’, ὡς ἔφην, μὴ ζητεῖν 〈τὰ ἄχρηστα〉 ἔχοντα 〈τὰ〉 χρήσιμα. καὶ τοίνυν ἤδη καταλείπωμεν ἅπαντα τὰ περὶ τὰς κρίσεις ἐφεξῆς αὐτῷ λελεγμένα, κεφάλαιον ἔχοντες κατὰ τὶ μὲν ὁμοίας αὐτὰς γενέσθαι, κατὰ τὶ δ’ ἀνομοίας. τῶν γάρ τοι πρώτων κρίσεων ἤτοι κατὰ τὴν ἕκτην ἡμέραν ἀναιρουσῶν τοὺς νοσοῦντας ἢ ἀπίστων γιγνομένων, ὡς ὑποστρέφειν αὖθις ἐπὶ τὴν ὑστάτην τε καὶ τελείαν κρίσιν, ἐπὶ τῆς ἑπτακαιδεκάτης ἡμέρας λαμβάνουσαν, ἐν τούτῳ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον ἐγίγνετο. μετὰ δὲ ταῦτα κρίσεων ἄλλων μνημονεύει καὶ ὑποστροφῶν γενομένων, εἰς τὴν εἰκοστὴν ἡμέραν ἐκταθεισῶν, ὥστ’ ἐν ταύτῃ τελείως κριθῆναι. κατέκειντο παρὰ τὸ θέατρο ν. γράφουσί 〈τινες〉 οὐ θέατρον, 〈ἀλλὰ θέρᾳτρον,〉 ἵν’ ἔχωσιν ἐξηγεῖσθαι χωρίον τι εἶναι παρὰ τὸ θερίζεσθαι κεκλημένον οὕτως. [15]

17a 198 διαφέρει δ’ οὐδὲν εἰς τὴν προκειμένην θεωρίαν, ὅπως ἄν τις γράφῃ τὰ τοιαῦτα τῶν ὀνομάτων. καὶ γὰρ εἴτε 〈 Ἐπιγένους εἴτε〉 Περιγένους εἴτε Διογένους εἴτε Θεογένους ἦσαν ἀδελφο ί, διήνεγκεν οὐδέν, ἀλλ’ οἱ μὴ δυνάμενοι 〈τὰ〉 κατὰ τὴν ἰατρικὴν τέχνην ἐξηγεῖσθαι καλῶς ἐπὶ τὰς τοιαύτας ἐκτρέπονται περιεργίας. Οἷσι δὲ τὰ παρὰ τὰ ὦτα γένοιτ ο , ἔκρινε 〈μὲν〉 εἰκοσταίοις ι , κατέσβη δὲ πᾶσι καὶ οὐκ ἐξεπύησε ν , ἀλ λ ’ ἐπὶ κύστιν ἐτράπετ ο . Κρατιστώνακτ ι , ὃς παρὰ Ἡρακλεῖ ᾤ〈κει 〉 , καὶ 〈Σκύμνου〉 γναφέως θεραπαίνῃ ἐξεπύησε ν , ἀπέθανο ν . ** Ὃ καὶ πρόσθεν εἶπον ἄξιον εἶναι μνήμης, ἀναμνήσω καὶ νῦν, ὅτι παραδοξότερόν τε καὶ σπανιώτερον ἐκείνου. [12]

17a 199

τὸ γὰρ χωρὶς τοῦ διαπυῆσαι τὰς παρωτίδας ὑπὸ μόνων τῶν κάτω γενομένων ἐκκρίσεων θεραπευθῆναι, μὴ πάνυ σύνηθες γενόμενον, ἐπέτεινεν ἐν τῷ νῦν λόγῳ γράψας Κρατιστώνακτα καὶ τὴν τοῦ γναφέως θεράπαιναν ἀποθανεῖ ν , ἐκπυησάντων τῶν παρὰ τὰ ὦτ α. μάχεσθαι γὰρ τούτῳ δόξει τὸ “πεπασμοὶ ταχυτῆτα κρίσεως καὶ ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν”. ἀλλὰ [καὶ] νῦν γε τὰ μὲν κατὰ τὰς φλέβας αἴτια τῶν πυρετῶν οὐκ ἔφθασε πεφθῆναι τῷ Κρατιστώνακτι καὶ τῇ θεραπαίνῃ τοῦ γναφέω ς , ἢ οὐκ ἂν ἀπέθανο ν . αἱ μέντοι παρωτίδες ἐπέφθησαν, ὅπερ ἔφην σπάνιον εἶναι καὶ δεῖν αὐτὸν μνημονεύειν, ὡς ἐνδεχόμενον ἦν μερικὴν γενέσθαι πέψιν ἐν μορίῳ τινί, καίτοι τῆς ὅλης νόσου μὴ πεφθείσης. τὰ δ’ ἄλλα πάντα τὰ κατὰ τὸν τόπον τοῦτον εἰρημένα περὶ τῶν κρίσεων ἐξειργάσμεθα τελέως ἔν 〈τε〉 τοῖς Περὶ κρίσεων κἀν 〈τοῖς Περὶ〉 κρισίμων ἡμερῶν γεγραμμένοις ἡμῖν ὑπομνήμασιν. Ὑπὸ δὲ χειμῶνα περὶ ἡλίου τροπὰς χειμερινὰς καὶ μέχρι ἰσημερίας παρέμενον μὲν καὶ οἱ καῦσοι καὶ τὰ φρενιτικ ά , καὶ ἔθνησκον πολλοί· αἱ μέντοι κρίσιες μετέπεσο ν , καὶ ἔκρινε τοῖς πλείστοισιν ἐξ ἀρχῆς πεμπταίοις ι , 〈διέλειπε τέσσαρα ς , ὑπέστρεφε ν , ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε πεμπταίοις ι ,〉 τὸ [ δ ὲ ] σύμπαν τεσσαρεσκαιδεκαταίοισι ν .

17a 200 〈ἔκρινε δὲ〉 παιδίοισιν οὕτω τοῖς πλείστοισι ν , ἀτὰρ καὶ πρεσβυτέροισι ν . ** Χειμῶνος νῦν μνημονεύει 〈τοῦ〉 κατὰ τὸ δεύτερον ἔτος, οὐχὶ κατὰ τὸ πρότερον, ὃν ἐν τῇ καταστάσει διηγήσατο, καὶ λέλεκταί μοι πρόσθεν ἡ αἰτία, δι’ ἣν αἱ φρενίτιδες ὕστερον ἐπλεόνασαν, οὐκ οὖσαι κατ’ ἀρχάς.

17a 201 ἀλλὰ καὶ τὰς τῶν κρίσεων προθεσμίας μεταπεσεῖν φησι καὶ διηγεῖται αὖ καὶ τὴν τούτων ποικιλίαν, κοινὸν ἐχουσῶν πρὸς τὰς ἔμπροσθεν εἰρημένας τὸ μεθ’ ὑποστροφῶν γίγνεσθαι. παιδίοις μὲν οὖν καὶ τοῖς τούτων ἔτι πρεσβυτέροις τεσσαρεσκαιδεκαταίοις τὸ σύμπαν γενέσθαι φησὶ τὰς κρίσει ς. καὶ γὰρ διαφορεῖται τάχιστ’ αὐτοῖς τὰ τῶν νόσων αἴτια καὶ πέττεται. τοῖς δ’ ἄλλοις οὐ μόνον εἰς τὴν εἰκοστήν, ἀλλὰ καὶ εἰς τὴν τεσσαρακοστὴν ἀφικέσθαι φησὶν ἐξ ὑποστροφῆς τὴν ὑστάτην κρίσιν, καὶ οὐδὲν θαυμαστὸν ἀξιολόγους γενέσθαι διαφορὰς τῶν κρίσεων ἐπὶ τῇ ποικιλίᾳ τῶν νοσημάτων. Ἐρρίγουν δ ’ ἐλάχιστοι μὲν τοῦ ἦρο ς , θέρεος δὲ πλείου ς , φθινοπώρου δ ’ ἔτι πλείου ς , ὑπὸ δὲ χειμῶνα πολλῷ πλεῖστο ι . αἱ δ ’ αἱμορραγίαι ὑπέληγο ν . Ἦρος μέμνηται νῦν τοῦ κατὰ μέσην τὴν κατάστασιν ὑπ’ αὐτοῦ ῥηθέντος, οὐ 〈τοῦ〉 κατὰ τὸ δεύτερον ἔτος.

17a 202 οὐ γὰρ ἐξέτεινεν ἐπὶ τοσοῦτόν γε τὴν διήγησιν τῶν γενομένων νοσημάτων, ἀλλὰ μέχρι μόνον τοῦ δευτέρου χειμῶνος ἀφίκετο. διὰ τί δὲ τοῦ χρόνου προιόντος ἀεὶ καὶ μᾶλλον ὁ τῶν ἐπιρριγούντων ἀριθμὸς ηὐξάνετο, πρόσθεν ἤδη μοι δυνάμει λέλεκται κατ’ ἐκεῖνον τὸν λόγον, ἡνίκα καὶ ἀνεμίμνῃσκον ἐπιδεδεῖχθαί μοι τὸ ῥῖγος γινόμενον διὰ τῶν στερεῶν σωμάτων διερχομένης τῆς ξανθῆς χολῆς, οὐκ ἐν ταῖς κοιλότησι τῶν ἀγγείων περιεχομένης. ἐν ἀρχῇ μὲν οὖν ἐν κοιλότησιν οὖσα τοὺς καύσους ἐγέννησε, μεταλαμβανομένη δ’ ὕστερον εἰς τὰ σαρκώδη μόρια καὶ δι’ αὐτῶν ἐπὶ τάκτὸς φερομένη τὸ ῥῖγος εἰργάσατο. κα τ ’ ὀλίγον δ ’ ἀποπαύσασθαι τὰς αἱμορραγίας 〈εἰκός, τῆς χολῆς〉 μηκέτ’ ἐν ταῖς φλεψὶν οὔσης, ἀλλὰ διασκεδαννυμένης εἰς ὅλον τὸ σῶμα. ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΒΙΒΛΙΟΝ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ Τὰ δὲ περὶ τὰ νοσήματ α , ἐξ ὧν διαγινώσκομεν μαθόντες ἐκ τῆς κοινῆς φύσεως ἁπάντων καὶ τῆς ἰδίης ἑκάστο υ , ἐκ τοῦ νοσήματο ς , ἐκ τοῦ νοσέοντο ς , ἐκ τῶν προσφερομένω ν , ἐκ τοῦ προσφέροντος ( ἐπὶ τὸ ῥᾷον 〈γὰρ〉 καὶ χαλεπώτερον ἐκ τούτο υ) , ἐκ τῆς καταστάσεως ὅλης καὶ κατὰ μέρεα τῶν οὐρανίων καὶ χώρης ἑκάστη ς , ἐκ τοῦ ἔθεο ς , ἐκ τῆς διαίτη ς , ἐκ τῶν ἐπιτηδευμάτω ν , ἐκ τῆς ἡλικίης ἑκάστο υ , λόγοις ι , τρόποις ι , σιγ ῇ , διανοήμασι ν , ὕπνοισι ν , οὐχ ὕπνοισι ν , ἐνυπνίοις ι , οἵοισι καὶ ὅτ ε , τιλμοῖς ι , κνησμοῖς ι , δάκρυσι ν , ἐκ τῶν παροξυσμῶ ν , διαχωρήμασι ν , οὔροις ι , πτυάλοισι ν , ἐμέτοις ι , καὶ ὅσαι ἐξ οἵων εἰς οἷα διαδοχαὶ νοσημάτων καὶ ἀποστάσεις ἐπὶ τὸ ὀλέθριον καὶ κρίσιμο ν , ἱδρώ ς , ῥῖγο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

c , ψῦξι c , βή ξ , πταρμο ί , λυγμο ί , πνεύματ α , ἐρεύξει c , φῦσαι σιγῶσα ι , ψοφώδεες [ χολώδεε c] , αἱμορραγία ι , αἱμορροίδε c . [10]

17a 204 ἐκ τούτων δὲ καὶ ὅσα διὰ τούτων σκεπτέο ν . Ἔνιοι ταῦτα παρεγγεγράφθαι νομίζουσιν ὁμοίαν ἔχοντα τὴν ἑρμηνείαν καὶ τὴν διάνοιαν τοῖς ἐν τῷ Περὶ χυμῶν γεγραμμένοις, ἃ προεξήγημαι διὰ τριῶν ὑπομνημάτων. ἔστι δὲ δηλονότι προγνωστικὰ καὶ 〈ταῦτα〉 τὰ θεωρήματα, διδάσκοντος αὐτοῦ 〈τοὺς〉 καθόλου σκοπούς, ἀφ' ὧν χρὴ τὰς προ γνώσεις ποιεῖσθαι. [15]

17a 205 κοινὴν μὲν οὖν φύσιν ὀνομάζει τὴν ἁπάντων ἀνθρώπων, ἰδίαν δὲ τὴν κα θ ' ἕκαστον ἡμῶν. ὅτι μὲν ἐξ ἀμφοτέρων δεῖ ποιεῖσθαι τὰς διαγνώσεις καὶ προγνώσεις, ἀσφαλέστεραι δ' εἰσὶν 〈αἱ〉 ἐκ τῆς ἰδίας φύσεως γιγνόμεναι, μεμάθηκας ἐν τῷ Προγνωστικῷ κἀν τῷ Περὶ ἀγμῶν τε καὶ Περὶ ἄρθρων ἔτι τε 〈κἀν τῷ〉 Περὶ τῶν ἐν τῇ κεφαλῇ τραυμάτων, ἃ καὶ αὐτὰ προεξηγησάμεθα. κελεύων οὖν ἀεὶ παραβάλλειν τὸ πεπονθὸς μόριον τῷ κατὰ φύσιν ἔχοντι, προσέθηκε τῷ λόγῳ τὸ "μὴ τὰ ἀλλότρια καθορᾶν." οὕτως δὲ κἀπειδὰν φῇ· "σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖς ὀξέσι νοσήμασι, πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δ' εἰ αὐτὸ ἑωυτῷ (οὕτω γὰρ ἂν εἴη ἄριστον)." καὶ ἔστ' ἄν γε τὸ ἴδιον ἑκάστου τῶν νοσούντων ἐπιστώμεθα χρῶμα καὶ μέγεθος, οὐδὲν τοῦ κοινοῦ δεόμεθα. διὰ δὲ τὸ μὴ προγινώσκειν ἡμᾶς ἅπαντας ἀνθρώπους ὅπως εἶχον φύσεως, ἀλλ' ἐξαίφνης πολλάκις ἐπ' 〈ἀρρώς〉 τους ἀγνώστους καλεῖσθαι, τὴν ἀρχὴν τῆς τε διαγνώσεως τῶν παρ 〈όντ〉 ων καὶ τῆς 〈τῶν〉 ἐσομένων προγνώσεως ἀπὸ τῶν κοινῶν ποιούμεθα. "οἷς γὰρ μήτε ῥὶς ὀξεῖα μήτ' ὀφθαλμοὶ κοῖλοι μήτε κρόταφοι ξυμπεπτωκότες εἶεν", οὐδὲν ἐρωτῶμεν οὐδένα περὶ τοῦ νοσοῦντος. [15]

17a 206 εἰ δὲ ῥὶς μὲν ὀξεῖα, ὀφθαλμοὶ δὲ κοῖλοι κρόταφοί τε ξυμπεπτωκότες φαίνονται, τηνικαῦτα ἐρωτῶμεν, ὅπως διέκειτο κατὰ φύσιν ἔχων. οὕτω δὲ κἀκ τοῦ νοσήματος αἱ προγνώσεις γίνονται τῶν μελλόντων ἔσεσθαι. δέδεικται γάρ σοι διὰ πλειόνων ἔν τε τοῖς Περὶ κρίσεων καὶ τοῖς Εἰς ἀφορισμοὺς ὑπομνήμασι τριταῖος μὲν ἀκριβὴς ταχυκρίσιμος ὤν, τεταρταῖος δὲ χρόνιος, ἀμφότεροι δ' ἀκίνδυνοι, φρενῖτις δὲ καὶ λήθαργος ἄμφω κινδυνώδη καὶ ὀξέα, σκίρρος δὲ σπληνὸς ὀλέθριός τε καὶ χρόνιος. ἐκ δὲ τοῦ νοσοῦντος αὐτοῦ πρόγνωσις γίνεται τῶν ἐσομένων κατὰ διττὸν τρόπον. ἔστι δ' αὐτῶν ὁ μὲν ἕτερος τοιοῦτος· "ἐκ κοσμίου, φησί, θρασεῖα ἀπόκρισις κακόν." ἔμπαλιν δὲ θορυβώδης ἄνθρωπος νοσῶν οὐ μόνον εἰ φθέγξαιτο θρασέως, ἀλλ' οὐδ' εἰ παραφρονήσειεν ἐν διακαεῖ πυρετῷ, κινδυνεύσειεν 〈ἄν〉 . ὁ δ' ἕτερος τρόπος τοιόσδ' ἐστίν· εἰ πάντα τὰ προσήκοντα ποιῶν ὁ κάμνων καὶ κατακούων τῷ ἰατρῷ μηδὲν ὀνίναται, χαλεπῶς νοσε ῖ. [15]

17a 207 τοὐναντίον δ' ἅπαν, εἰ μηδὲν τῶν δεόντων πράττων 〈ὅμως ἔχει τὸν αὐτὸν τρόπον ὁ〉 νοσῶ ν, μετρίως διάκειται. οὕτως δὲ κἀκ τῶν προσφερομένων ἡ πρόγνωσις ἔσται· μοχθηρῶν 〈μὲν〉 γὰρ ὄντων αὐτῶν, εἴ τινι μὴ χείρω γίγνοιτο, μετρίως νοσε ῖ, προσηκόντως δ' ἁπάντων γιγνομένων, εἰ πρὸς τῷ μηδὲν ὀνίνασθαι σφοδρύνοιτο, μοχθηρῶς. ἐγὼ δ' ὅτι μὴ μόνον τοὺς τρόπους τῶν νοσημάτων, ἀλλὰ καὶ τὰς ἰδέας ἐνίοτε διέγνων ἐκ τῶν προσφερομένων, ἐθεάσασθε πολλάκις. ἀλλ', ὡς ἔφην, ἐπὶ πλέον ἐν ἑτέροις ὑπὲρ ἁπάντων τούτων διῆλθον. ὅταν δὲ κἀκ τοῦ προσφέροντος λέγῃ προγινώσκεσθαι ῥᾷον ἢ χαλεπώτερον ἐν ταῖς νόσοις, ἀκούειν χρὴ τοιόνδε τι· θεώμενοι πολλάκις ἤτοι διαθέσεις χρονίας ἢ καὶ πυρετώδη νοσήματα χρόνια, προστίθεμέν τι τῇ διαγνώσει τε 〈τῶν γενομένων καὶ τῇ τῶν ἐσομένων προγνώσει〉 κἀκ τοῦ γνῶναι, τίς ὁ θεραπεύων ἦν ἰατρός· εἰ μὲν γὰρ ἀξιόλογος, ὀλίγας ἐλπίδας ἔχομεν τῆς ἰάσεως, εὔδηλον γὰρ ὅτι κακοήθης ἐστὶν ἡ νόσο c, εἰ πάντων ὀρθῶς γιγνομένων οὐδὲν 〈ὁ νοσῶν〉 ὀνίναται· φαύλου δ' ὄντος εἰκὸς εἶναι νομίζομεν, εἰ καλῶς ἅπαντα πραχθείη, σωθήσεσθαι τὸν ἄνθρωπον. ἀλλὰ κἀκ τῆς καταστάσεως ἔφη, τουτέστι τῆς ἰδίας τοῦ περιέχοντος κράσεως, ἔσεσθαι τὰς προγνώσεις. [15]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17a 208 τὸ δ’ ὅλης καὶ κατὰ μέρεα τῶν οὐρανίων 〈δῆλόν〉 ἐστιν, εἰ μεμνήμεθα τῶν ἐν ταῖς προγεγραμμέναις τρισὶ καταστάσεσιν εἰρημένων, ἐφ’ ὧν αὐτὸς ὁ Ἱπποκράτης τὰ ἐν τῷ περιέχοντι γενόμενα κατὰ θερμότητα καὶ ψυχρότητα 〈καὶ ξηρότητα καὶ ὑγρότητα καὶ τὰ πνεύματα καὶ τὰς νηνεμίας〉 διερχόμενος ἐπὶ τῆς τελευτῆς αὐτῶν ἀπεφήνατο τὴν ἐπικρατήσασαν κρᾶσιν, οἷον ὅταν 〈κατὰ τὴν τελευτὴν τῆς πρώτης καταστάσεως οὕτως〉 εἴπῃ· “γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετ’ αὐχμῶν”, καίτοι γ’ οὐδὲ δι’ ὅλου τοῦ ἔτους οὔτε νότος ἔπνευσεν οὔτε αὐχμὸς ἐγένετο. πάλιν δέ, ὅταν 〈κατὰ τὴν δευτέραν κατάστασιν οὕτως〉 εἴπῃ· “γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου”, κατὰ τὸ πλεονάζον ἀποφαίνεται. τὸ γὰρ μηδεμίαν ἡμέραν ἐν ὅλῳ τῷ ἔτει μήτε θερμὴν γενέσθαι μήτε ξηρὰν μήτε νότιον ἀδύνατον ἦν. οὕτως δὲ καὶ τὰς τῶν νοσημάτων ἰδέας 〈ὡς τὸ〉 πολὺ μὲν ἐνεδέχετο γενέσθαι τοίας, οὐ μὴν ἄνευ τοῦ παρεμπεσεῖν ἑτέρας. ἀμέλει 〈καὶ〉 συντελέσας τῆς πρώτης καταστάσεως τὴν διήγησιν, ἐπὶ τῇ ταύτης τελευτῇ κατὰ λέξιν οὕτως ἔγραψεν· “ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει ταύτῃ μόνοις τοῖσι φθινώδεσι θανατώδεα συνέπεσεν· ἐπεὶ τοῖσί γ’ ἄλλοις εὐφόρως πᾶσι καὶ θανατώδεες ἐν τοῖς ἄλλοις πυρετοῖς οὐκ ἐγένοντο. [15]

17a 209 ” 〈οὔκουν〉 οὔτε ἓν εἶδος ἐπεδήμησε νοσημάτων οὔτε μία κατάστασις ἐν ὅλῳ τῷ ἔτει διὰ παντὸς ἐγένετο. κατὰ δὲ τὸ ἐπικρατοῦν τῆς κράσεως ἤτοι ψυχρὰν καὶ ὑγρὰν ἤ τινα τῶν ἄλλων κράσεων ἡμεῖς λέγομεν. ὁ δ’ Ἱπποκράτης ἔγραψεν· ἦρος μὲν γὰρ ἄλλα νοσήματα, θέρους δ’ ἄλλα, καὶ φθινοπώρου μὲν ἄλλα, χειμῶνος δ’ ἄλλα συνέβη γενέσθαι καθ’ ἑκάστην ὧν ἔγραψε καταστάσεω ν, ἐπικρατεῖν δ’ ὅμως ἐν ὅλῳ τῷ ἔτει κατὰ μὲν τήνδε τὴν κατάστασιν τουτὶ τὸ νόσημα, καθ’ ἑτέραν δὲ τουτί. τοῦτ’ οὖν ἐστι τὸ λεγόμενον ἐκ τῆς καταστάσεως ὅλης καὶ κατὰ μέρεα τῶν οὐρανίω ν. προσέθηκε δὲ τῷ λόγῳ 〈τὸ〉 τῶν οὐρανίων, ἐπειδὴ ψιλῶς λεχθὲν ἄνευ τῆς προσθήκης τὸ τῆς καταστάσεως ὄνομα καὶ τὴν τῆς χώρας ἰδέαν δηλοῦν δύναται καὶ παντὸς ἄλλου πράγματος. ἀμέλει καὶ συνάπτων ἐρεῖ· ἐκ τῆς καταστάσεως ὅλης [τε] καὶ κατὰ μέρεα τῶν οὐρανίων καὶ χώρης ἑκάστης [καὶ τοῦ ἔθεος]. ὅτι δὲ καὶ ἡ τῆς χώρας ἰδέα μεγάλα συντελεῖ πρὸς τὴν τῶν ἐσομένων πρόγνωσιν ἐπιδέδεικται πολλάκις. [15]

17a 210 ἀρκεῖ δὲ νῦν ἀναπέμψαι 〈σε〉 πρὸς τὸ Περὶ ἀέρων καὶ ὑδάτων καὶ τόπων βιβλίον, ἐν ᾧ διδάσκει, τίνα καθ’ ἑκάστην χώραν πλεονάζει νοσήματα· τούτων γὰρ ἥ τε γένεσις τοῖς ἐπιχωρίοις σύντροφος ὅ τ’ ἀπ’ αὐτῶν κίνδυνος ἥττων, ὡς ἂν οἰκείων ὄντων. ἀλλὰ κἀκ τοῦ ἔθους εἰς πρόγνωσιν ὠφελεῖσθαί σε διδάσκει. ἐν γοῦν τῷ Προγνωστικῷ προστιθεὶς αὐτοὺς τοὺς ἐκ τῆς συνηθείας διορισμοὺς ἐνίοτε μὲν οὕτως φησίν· “ἐπὶ γαστέρα δὲ κεῖσθαι, ᾧ μὴ σύνηθές ἐστι καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην σημαίνει ἢ ὀδύνην 〈τῶν〉 περὶ τὴν κοιλίην.” ἐνίοτε δὲ οὕτως· “ὀδόντας πρίειν ἐν πυρετοῖσιν, ὁκόσοισι μὴ σύνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες.” ἀλλὰ κἀκ τῆς διαίτης τοῦ κάμνοντος, ἣν διῃτήθη, δυνατόν ἐστι στοχάσασθαι τεχνικῶς, ὁποῖοί τέ εἰσι καὶ ὁπόσοι οἱ πλεονάζοντες χυμοί. τούτων δὲ γνωσθέντων ἥ τε παροῦσα τοῦ σώματος διάθεσις εὐγνωστοτέρα καὶ ἡ πρόγνωσις τῶν ἀποβησομένων ἑτοιμοτέρα γίγνεται. ἀλλὰ κἀκ τῶν ἐπιτηδευμάτων ἀξιοῖ τὰς προγνώσεις ποιεῖσθαι. [15]

17a 211 καλοῦσι δ’ ἐπιτηδεύ ματα πάντα ὅσα πράττουσιν οἱ ἄνθρωποι διὰ χρείαν ἢ ἀνάγκην 〈ἢ καὶ δι’ ἡδονήν, εἴτε〉 ναυτιλλόμενοι καὶ γεωργοῦντες, ἢ οἰκοδομοῦντές τε καὶ τεκταινόμενοι, 〈εἴτε〉 κυνηγετοῦντες ἢ φιλογυμναστοῦντες 〈ἢ φιλολουτροῦντες〉, ὡς λούεσθαι πολλάκις ἐν ὕδασι θερμοῖς ἢ ψυχροῖς. ἔνεστιν οὖν ἀφ’ ὧν ἐπιτηδεύουσι τεκμήρασθαι περὶ τῆς κατὰ τὴν νόσον διαθέσεως. ὁ μὲν 〈γὰρ〉 ἐν ἀγρῷ διῃτημένος ὥρᾳ θέρους ὑπαίθριος ἐν ἡλίῳ καὶ πόνοις καὶ λεπτῇ διαίτῃ τὸν πικρόχολον χυμὸν μᾶλλον ἢ τὸν φλεγματικὸν ὅσον ἐπὶ τούτῳ 〈συν〉ηθροικέναι δύναται· ὅστις δ’ ἔμπαλιν τῷδε κατὰ πόλιν ἐν σκιᾷ 〈μὲν διατρίβων〉,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λουόμενος 〈δὲ〉 δὶς τῆς ἡμέρας, ἀργῶς δ’ ἐμπιπλάμενος διατελεῖ, τὸν φλεγματικὸν μᾶλλον, ἐπί τε τῶν ἄλλων ἀνὰ λόγον. ὅτι δὲ κἀκ τῆς ἡλικίας εἴς τε τὴν τῶν παρόντων διάγνωσιν καὶ τὴν τῶν ἐσομένων πρόγνωσιν οὐ σμικρὰν ὠφέλειαν ἴσχομεν, ἐκ [τε] τῶν Ἀφορισμῶν μαθήσῃ, καθ’ οὓς περὶ τῶν ἡλικιῶν διελέγετο, προεξηγησάμεθα δ’ ἤδη τὸ βιβλίον 〈δι’ ὑπομνημάτων ἑπτά〉 . ἀλλὰ κἀκ τῶν λόγων ὧν ὁ κάμνων λέγει δυνατόν ἐστι πρὸς τὴν τῶν παρόντων διά γνωσιν καὶ πρὸς τὴν τῶν μελλόντων πρόγνωσιν ὠφελεῖσθαι.

17a 212 συνῆπται δ’ ἡ σημείωσις αὕτη καὶ κοινωνεῖ τῇ κατὰ τὸ ἦθος. ἐὰν μὲν γὰρ κατὰ 〈ταὐ〉 τὸ ἦθος, ὃ πρόσθεν ἐτύγχανεν ἔχων ἐν τῷ ὑγιαίνειν ὁ κάμνων, οἱ λόγοι φαίνωνται γιγνόμενοι, χαλεπὸν οὐδὲν ἔσεσθαι προσδοκήσομεν, εἰ δ’ ἐναντίους τοῖς εἰωθόσιν ὁ κάμνων λόγους λέγει, μοχθηρὸν τὸ σημεῖον· ὑπόνοια γάρ τις ἡμῖν ἐκ τούτου γίγνεται βεβλάφθαι τὴν διάνοιαν αὐτοῦ. τὸ δὲ τρόποισιν ἐφεξῆς εἰρημένον ἴδωμεν τί σημαίνει. χρῶνται γὰρ οἱ παλαιοὶ τῇ φωνῇ ταύτῃ κατὰ δυοῖν σημαινομένοιν, ἐνίοτε μὲν ἐπὶ τὸ τῆς ψυχῆς ἦθος αὐτὴν 〈ἀνα〉 φέροντες, ἐνίοτε δ’ ἐπὶ τὰς διαφορὰς ἢ τὰς ἰδέας τοῦ προκειμένου κατὰ τὸν λόγον πράγματος, οἷον εἰ περὶ διαίτης ὁ λόγος, τρόπους διαίτης εἰπὼν ὁ συγγραφεὺς τὰς διαφορὰς αὐτῆς ἢ τὰς ἰδέας δηλοῖ, καθάπερ γε κἂν εἰ πυρετῶν εἴποι τρόπους εἶναι πολλούς, τὰς διαφορὰς καὶ τούτων ἢ τὰ εἴδη σημαίνει. καὶ τοίνυν ἤτοι τὰ τῆς ψυχῆς ἤθη δηλοῖ διὰ τοῦ φάναι τρόποισιν ἢ τὰς τῶν λόγων διαφοράς, ἐπειδὴ περὶ λόγων προεί ρηκεν, ὡς εἰ καὶ οὕτως εἶπε· “λόγοισι καὶ ταῖσιν αὐτῶν διαφοραῖσιν.

17a 213 ” διαφορὰς γὰρ ἢ ἰδέας ἢ εἴδη κατὰ τὸ παρὸν οὐ διοίσει λέγειν, ἁπάντων τούτων γιγνομένων ἐν τῇ τομῇ τῶν γενικῶς νοουμένων. ὥσπερ δ’ οἱ λόγοι διδάσκουσί τι περὶ τῆς διαθέσεως τοῦ νοσοῦντος, οὕτω καὶ ἡ σιγὴ παρὰ φύσιν ἢ κατὰ φύσιν οὖσα τῷ κάμνοντι. τῷ μὲν γὰρ φύσει σιωπηλῷ κατὰ φύσιν ἐστί, τῷ δ’ ἐναντίῳ παρὰ φύσιν. ὥστε τούτῳ μὲν ἤτοι νωθρότης τίς ἐστι καταφορική, δι’ ἣν σιωπᾷ παρὰ φύσιν, ἢ μελαγχολίας ἀρχή, τῷ δὲ σιωπηλῷ τὸ μὴ σιωπᾶν, ἀλλὰ πλείω φθέγγεσθαι τῶν εἰωθότων παρακρουστικόν. ἑξῆς δ’ εἰπὼν διανοήματα οὐκ αἰσθητὸν οὐδὲ φαινόμενον ἐδήλωσεν, ἀλλ’ ἐκ τεκμηρίων εὑρισκόμενον πρᾶγμα. τεκμήριον δέ ἐστιν ὃ ἀποφθέγγονταί τε καὶ πράττουσιν οἱ κάμνοντες. παραγενόμενος γοῦν τις ἡμῖν ἕωθεν, ὡς ἔθος, ἐπὶ τὴν ἐπίσκεψιν αὐτοῦ δι’ ὅλης ἔφη τῆς νυκτὸς ἠγρυπνηκέναι, σκοπούμενος, εἰ δόξειε τῷ Ἄτλαντι κάμνοντι μηκέτι βαστάζειν τὸν οὐρανόν, ὅ τί ποτ’ ἂν συμβαίη, τοῦτο εἰπόντος αὐτοῦ συνήκαμεν ἀρχήν τινα μελαγχολίας εἶναι.

17a 214 παραπλησίως δὲ καὶ διὰ τῶν ἔργων ὧν πράττουσιν οἱ κάμνοντες ἐνδείκνυνται τὸ τῆς ψυχῆς ἦθος. ἑξῆς δὲ τούτων ὁ συγγραφεύς φησιν ὕπνοισι ν , οὐχ ὕπνοις ι, περὶ ὧν οὐδὲν ἐνταῦθα θέλω λέγειν, ἔν τε τοῖς 〈Εἰς τοὺς〉 ἀφορισμοὺς κἀν 〈τοῖς Εἰς τὸ〉 προγνωστικὸν ὑπομνήμασι τοὺς ὕπνους τε καὶ ἀγρυπνίας προεξηγησάμενος. ἀλλὰ καὶ περὶ τῶν ἐνυπνίων προεξήγημαι, τῶν τ’ ἄλλων καὶ ὅσα διάθεσίν τινα τοῦ σώματος ἐνδείκνυται, καθάπερ κἀν τῷ Περὶ διαίτης ὑγιεινῷ γέγραπται. πυρκαϊὰς μὲν γάρ τις ὁρῶν ὄναρ ὑπὸ τῆς ξανθῆς 〈ἐν〉 οχλεῖται χολῆς, 〈ὁ δὲ καπνὸν ἢ ἀχλὺν ἢ βαθὺ σκότος, ὑπὸ τῆς μελαίνης χολῆς·〉 ὄμβρους δὲ ψυχρὰν ὑγρότητα πλεονάζειν ἐνδείκνυται, καθάπερ γε καὶ [εἰ] χιόνα καὶ κρύσταλλον καὶ χάλαζαν, φλέγμα ψυχρόν· ἐν χωρίῳ δ’ ὁ δοκῶν εἶναι δυσώδει σηπεδόνα χυμῶν, λόφους δ’ ἀλεκτρυόνων ἤ τινα πυρρά, αἷμα πλεονάζειν. ζοφώδη δέ τινα ὁρᾶν ἢ ἐν ζοφώδεσι τόποις ἵστασθαι πνεύματα δηλοῖ 〈καὶ ἐπὶ τῶν ἄλλων ἀνὰ λόγον.

17a 215 〉 διὸ καὶ προσέθηκε τῷ ἐνυπνίοισι 〈τὸ〉 οἵοισι καὶ ὅτ ε· τὸ μὲν 〈οἵ〉 οισι τὰς διαφορὰς αὐτῶν ἐνδεικνύμενον καὶ μὴ προσθέντος αὐτοῦ πρόδηλον ἦν, τὸ δ’ ὅτε τὸν καιρόν, ἐν ᾧ γίνεται τὰ ἐνύπνια, τουτέστιν εἴτε κατὰ τὴν εἰσβολὴν τῶν παροξυσμῶν εἴτε κατὰ τὴν ἀκμὴν εἴτ’ ἐν ἄλλῳ τινὶ καιρῷ καὶ εἰ μετὰ τροφὴν καὶ ποίαν γέ τινα τροφὴν εὐθέως ἢ χωρὶς τροφῆς, γίνεται γάρ τις ἔνδειξις ἐκ τούτων. ὁ γοῦν χιονίζεσθαι δοκῶν ἐὰν ἐν εἰσβολῇ παροξυσμοῦ μετὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥίγους ἢ φρίκης ἢ καταψύξεως γιγνομένου τοῦτο φαντασθῇ, τῷ καιρῷ τὸ πλέον, οὐ τῇ διαθέσει τοῦ σώματος ἀναφέρειν χρή. κατὰ μέντοι τὴν παρακμὴν 〈ὁ〉 τοιοῦτον ὄναρ θεασάμενος βεβαιοτέραν ἡμῖν ἔνδειξιν ἐργάσεται τῆς τῶν ἐπικρατούντων χυμῶν ψυχρότητος· ἔτι δὲ μᾶλλον, ἐὰν μη 〈δὲν〉 ἐδηδοκὼς ᾖ τῶν φλεγματικῶν ἐδεσμάτων, ὧν ἐν τῇ γαστρὶ περιεχομένων ἐνδέχεταί τινι τοιαύτην γίνεσθαι φαντασίαν, καίτοι τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως οὐκ οὔσης ὁμοίας. τὸ δὲ τιλμοῖσι ν, ὅπερ ἐφεξῆς εἴρηται, προεξήγημαι κἀν τοῖς 〈Εἰς τὸ〉 περὶ χυμῶν ὑπομνήμασιν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν νῦν εἰρημένων, ἐπί τε τῶν κροκυδιζόν των καὶ καρφολογούντων εἰρῆσθαι δυνάμενον καὶ τῶν ὁτιοῦν μέρος ἑαυτῶν τιλλόντων, ἐν ᾧ διάθεσίς τίς ἐστιν ὀδυνώδης ἐν βάθει. [15]

17a 216 πολλάκις δὲ καὶ πύου περιεχομένου κατὰ τὸ μόριον ἤ τινος ἄλλου δριμέος χυμοῦ τίλλουσι τὸ μέρος, ὥσπερ γε καὶ λόγῳ παραφροσύνης ἔστιν ὅτε. τὸ δὲ κνησμοῖσι μετὰ τοῦτο γεγραμμένον ἐνδείκνυται χυμοὺς ὀδαξῶντας εἶναι κατὰ τὸ δέρμα, δι’ οὓς κνῶντα ι. περὶ 〈δὲ〉 δακρύων ἐμάθομεν ἤδη τῶν ἑκουσίων τε καὶ ἀκουσίων, ὁποῖόν τι σημαίνειν ἑκάτερα πέφυκεν, ὥσπερ γε καὶ περὶ τῆς ἰδέας τῶν παροξυσμῶ ν, ἀλλὰ καὶ περὶ 〈τῆς τῶν〉 διαχωρημάτων καὶ οὔρων καὶ πτυέλων καὶ τῶν ἐμουμένων αὐταρκέστατα διὰ τοῦ Προγνωστικοῦ δεδήλωται, μετὰ τοῦ καὶ κατὰ τοὺς Ἀφορισμοὺς εἰρῆσθαι πολλάκις καὶ κατὰ τὸ Προρρητικόν. ἐφεξῆς δὲ λέγοντος αὐτοῦ καὶ ὅσαι ἐξ οἵων εἰς οἷα διαδοχαὶ νοσημάτων καὶ ἀποστάσεις ἐπὶ τὸ ὀλέθριον καὶ κρίσιμο ν, ἀναμιμνῄσκεσθαι χρὴ κἀνταῦθα τῶν προδιδαχθέντων, ἐν οἷς προεξηγήμεθα. διαδοχαὶ γοῦν ὀλέθριοί τε καὶ κρίσιμοι γίνονται νοσημάτων κατά τε τὴν τῶν νόσων αὐτῶν διαφορὰν καὶ τοὺς πάσχοντας τόπους. [15]

17a 217 ἡ μὲν γὰρ εἰς ἐπιεικέστερα νοσήματα καὶ τόπους ἀκυροτέρους διαδοχὴ σωτήριος, ἡ δ’ εἰς χαλεπώτερά τε νοσήματα καὶ τόπους κυριωτέρους ὀλέθριο ς. οὕτω δὲ καὶ ἀποστάσεις αἱ μὲν κατ’ ἔκρουν ἀμείνους, αἱ δὲ κατ’ ἀπόθεσιν ἧττον ὠφέλιμοι. τούτων δ’ αὐτῶν αἱ μὲν πορρωτέρω τε τοῦ κάμνοντος τόπου καὶ εἰς ἄκυρα μόρια 〈τοῦ〉 πάσχοντος ἀγαθαί, αἱ δ’ ἐναντίαι τούτων μοχθηραί. καὶ μὴν καὶ τὰ τούτων ἐφεξῆς εἰρημένα κατὰ τὸ σύγγραμμα πᾶν ἐπὶ πλεῖστον ἐξειργάσμεθα δι’ ὧν προεξήγημαι βιβλίων. ἐν μὲν γὰρ 〈τοῖς Εἰς τοὺς〉 ἀφορισμοὺς κἀν 〈τοῖς Εἰς τὸ〉 προγνωστικὸν περί τε τοῦ ῥίγους καὶ τῶν ἱδρώτων καὶ βηχὸς καὶ πταρμοῦ καὶ λυγμο ῦ, ἐν δὲ ταῖς ἄλλαις πραγματείαις, ἃς ἐποιησάμεθα, καὶ περὶ τούτων 〈εἴπο〉μεν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων, ὅσα χρήσιμα πρός τε τὰς διαγνώσεις καὶ προγνώσεις ἐστίν. ἐφεξῆς δὲ πάλιν ψύξεως αὐτοῦ μνημονεύσαντος ἐπισκεπτέον, ἆρά γε τοῦ παντὸς σώματος ψῦξιν, ὡς διακαίεσθαι τὸ βάθος, ἢ τῶν ἀκρωτηρίων ἀκούειν προσήκει 〈μόνων〉 ἢ περὶ πάντων τούτων λέγειν αὐτὸν ἄμεινόν ἐστιν ὑπολαβεῖν. [15]

17a 218 ἄλλο μὲν γάρ τι σημαίνει ψῦξις ἐν ἀρχῇ παροξυσμοῦ, ἄλλο δ’ ἐν παρακμῇ γινομένη· καθάπερ γε καί, εἰ διὰ παντὸς τοῦ παροξυσμοῦ παραμένοι καὶ αὐτή, σημεῖόν ἐστιν οὐκ ἀγαθόν, ὥσπερ γε καὶ εἰ τοιαύτης οὔσης αὐτῆς ἀεὶ διακαίοιτο τὸ βάθος· ὑπὲρ ὧν ἁπάντων 〈ἐν〉 οἷς τ’ ἐξηγησάμεθα καὶ κατὰ τὴν Περὶ κρίσεων πραγματείαν εἴρηται. πνεύματα δ’ ὅταν εἴπῃ, τὰς περὶ τῆς ἀναπνοῆς διαφορὰς ἀκουστέον. ἐπειδὴ δὲ τῶν φυσῶν ἐφεξῆς ἐμνημόνευσε, καὶ αὗται τοῦ γένους εἰσὶ τῶν πνευμάτω ν. εἴρηται δ’ ἐν τοῖς Εἰς τὸ προγνωστικὸν καὶ τῇ Περὶ δυσπνοίας πραγματείᾳ καὶ [τῇ] περὶ τῆς 〈τῶν〉 κατ’ ἀναπνοὴν πνευμάτων διαφορᾶς, ὥσπερ γε καὶ περὶ 〈τῶν〉 φυσῶν ἐν 〈τοῖς Εἰς〉 τὸ προγνωστικόν. καὶ ἐρυγαὶ δὲ τοῦ γένους μέν εἰσι τῶν πνευμάτων καὶ κατὰ τοῦτο κοινωνοῦσί πως τοῖς κατὰ τὴν ἀναπνοήν, ἐν εἴδει δὲ 〈τῶν〉 φυσωδῶν πνευμάτων ὑπάρχουσαι πάλιν κατὰ τοῦτο [οὐ] κοινωνοῦσι ταῖς φύσαι ς, ὥστε καὶ αὗται δηλοῦσι φυσῶδες ἐν τῇ κοιλίᾳ τῇ ἄνω γεννᾶσθαι πνεῦμ α. καὶ τὸ κατὰ τὴν τελευτὴν δὲ τῆς ῥήσεως εἰρημένον εὔδηλον. [15]

17a 219

αἱμορραγίαι τε γὰρ καὶ αἱμορροίδες ὅπως αἱ μὲν ἐπ’ ὠφελείᾳ γίνεσθαι πεφύκασιν, αἱ δ’ ἐπὶ βλάβῃ μεμαθήκαμεν. Πυρετοὶ οἱ μὲν συνεχέε c , οἱ δὲ ἡμέρην ἔχους ι , νύκτα διαλείπους ι , 〈νύκτα ἔχουσι ν , ἡμέρην διαλείπουσιν·〉 ἡμιτριταῖο ι , τριταῖο ι , τεταρταῖο ι , πεμπταῖο ι , ἑβδομαῖοι καὶ ἐναταῖο ι . Καὶ τῷ τοῦ συνεχοῦς ὀνόματι καὶ τῷ τοῦ διαλείποντος οἱ παλαιοὶ διττῶς φαίνονται χρώμενοι. συνεχεῖς γοῦν ὀνομάζουσι πυρετοὺς ἐνίοτε μὲν ἅπαντας, ὅσοι μὴ λήγουσιν εἰς ἀπυρεξίαν, ἐνίοτε δ’ οὐχ ἅπαντας τοὺς μὴ λήγοντας εἰς ἀπυρεξίαν, ἀλλ’ ἐκείνους μόνους ἐξαιρέτως, ὅσοι μηδεμίαν ἴσχουσι μεταβολὴν ἄχρι κρίσεως. οὕτω δὲ καὶ διαλεί ποντας ἐνίοτε μὲν ἐκείνους μόνους ὀνομάζουσι τοὺς εἰς ἀπυρεξίαν παυομένους, ἐνίοτε δὲ τοὺς μὴ παυομένους μὲν εἰς ἀπυρεξίαν, ἀξιολόγους δὲ μεταβολὰς ποιουμένους τῶν κατὰ μέρος παροξυσμῶν εἰς ἀρχήν τε καὶ ἀνάβασιν, ἀκμήν τε καὶ παρακμήν, ἔνιοι δὲ τῶν νεωτέρων ἰατρῶν τοὺς μηδεμίαν ἀξιόλογον ἴσχοντας μεταβολὴν οὐ συνεχεῖ c, ἀλλὰ συνόχους ὀνομάζουσι, συνεχεῖς δὲ μόνους ἐκείνους, ὅσοι μήτ’ εἰς ἀπυρεξίαν λήγουσι καὶ διαλείπουσι τοῖς κατὰ μέρος παροξυσμοῖς.

17a 220 τούτους 〈δ’〉 οἱ παλαιοὶ ποτὲ μὲν συνεχεῖς ὀνομάζουσι, ποτὲ δὲ διαλείποντα c. εἰσὶ γὰρ ὄντως ἐν τῷ μέσῳ τῶν συνεχῶν καὶ τῶν εἰς ἀπυρεξίαν παυομένων. εἰκότως οὖν, ὅταν μὲν τοῖς συνεχέσι παραβάλλωνται, διαλείποντες καλοῦνται, ὅταν δὲ τοῖς εἰς ἀπυρεξίαν λήγουσι, συνεχεῖ c. ἐν δὲ τῇ προκειμένῃ ῥήσει πυρετῶν διαφορὰς γράφων ὁ Ἱπποκράτης ἐνίους μὲν αὐτῶν φησιν εἶναι συνεχεῖ c, (εἰσὶ γὰρ ὄντως πολλοὶ συνεχεῖς κατ’ ἀμφότερα τὰ σημαινόμενα 〈πρὸς〉 τοῦ συνεχεῖ c,) ἐνίους δ’ ἤτοι τὴν νύκτα διαλιπεῖν ἢ τὴν ἡμέραν, ὧν τοὺς μὲν εἰς ἀπυρεξίαν μὴ λήγοντας ἔνιοι τῶν νεωτέρων ἰατρῶν μεθημερινοὺς ἢ καθημερινοὺς ὀνομάζουσι, τούς τε λήγοντας ἀμφημερινούς, τῆς τοιαύτης λεπτολογίας τῶν ὀνομάτων οὐκ οὔσης παρὰ τοῖς παλαιοτέροι c.

17a 221 τοῦ 〈τοι〉 γαρ 〈οὖν〉 διαλείπειν διχῶς νοουμένου τε καὶ λεγομένου, καθότι προείρηται, τοὺς καθ’ ἑκάστην ἡμέραν ἢ νύκτα παροξυνομένους διαλείποντας ἐροῦμεν, ἐάν τ’ εἰς ἀπυρεξίαν, ἐάν τ’ εἰς τὴν καλουμένην ἔνδοσιν ἥκωσιν. εἶθ’ ἑξῆς καταλέγει διαφορὰς πυρετῶν ἑτέρας τῶν προειρημένων, ἡμιτριταίω ν , τριταίω ν , τεταρταίω ν , πεμπταίω ν , ἑβδομαίων καὶ ἐναταίων μνημονεύων. τριταῖοι μὲν καὶ τεταρταῖοι σαφῶς εἰς ἀπυρεξίαν λήγουσι, τοὺς δ’ ἡμιτριταίους ἔνιοι μὲν 〈ἐν〉 ἀμφοτέραις ἄγουσι ταῖς διαφοραῖς, ἔνιοι δὲ κατὰ τὴν ἑτέραν μόνην, 〈τὴν〉 τῶν [μὴ] ληγόντων εἰς ἀπυρεξίαν. ἐὰν δ’ ἐννοήσῃς, ὅτι, καθάπερ ἐπὶ τῶν καθ’ ἑκάστην ἡμέραν παροξυνομένων ἐνίους μὲν εἰς ἀπυρεξίαν ἔφην λήγειν, ἐνίους δ’ εἰς ἔνδοσιν, οὕτω καὶ τῶν διὰ τρίτης ἢ διὰ τετάρτης τίς ἐστι διαφορά, γνώσῃ σαφῶς οὐ περὶ πράγματος εἶναι τὴν ζήτησιν, ἀλλὰ σημαινομένου πρὸς τῆς ἡμιτριταίου φωνῆς.

17a 222 τούς γε μὴν διὰ τετάρτης παροξυνομένους ἴσμεν εἰς ἀπυρεξίαν λήγοντας ὡς τὸ πολύ, καὶ σπανιώτατά τις ὤφθη τῶν διὰ τετάρτης παροξυνομένων μὴ λήγων εἰς ἀπυρεξίαν. οὐ μὴν ἐπί γε τῶν διὰ τρίτης ὁμοίως ἔχει, πάμπολλαι γάρ εἰσι διαφοραί. ἐν τούτοις μὲν οὖν, ὡς ἔφην, οὐ περὶ πράγματος, ἀλλὰ περὶ σημαινομένου καὶ ὀνόματός ἐστιν ἡ ζήτησις, οὕς〈τινας〉 τῶν προειρημένων πυρετῶν ὀνομάζειν προσήκει τριταίου c , ἡμιτριταίους καὶ τριταιοφυεῖ c. ὅταν δὲ καὶ πεμπταίους ἢ ἑβδομαίους ἢ ἐναταίους λέγῃ τινὰς εἶναι πυρετού c, οὐ περὶ ὀνόματός ἐστι 〈καὶ〉 σημαινομένου ζήτησις, ἀλλὰ περὶ πράγματος. ἔνιοι μὲν γὰρ τῶν ἰατρῶν οὐδέποτέ φασιν ἑωρακέναι τῆς τετάρτης ἡμέρας ἐξωτέρω προιοῦσαν οὐδεμίαν περίοδον, ἔνιοι δέ φασιν, ὥσπερ καὶ Ἱπποκράτη c. ἐγὼ δὲ καὶ αὐτὸς ἐκ μειρακίου μέχρι δεῦρο παραφυλάττων, ἑβδομαίας ἢ ἐναταίας οὐδ’ ὅλως εἶδον οὔτε σαφεῖς οὔτ’ ἀμφιβόλους, πεμπταίας δὲ περιόδους ἐθεασάμεθα ἀμφιβόλους, οὐ μὴν ἀκριβεῖς γε καὶ σαφεῖς, ὡς ἀμφημερινὰς καὶ τριταίας καὶ τεταρταίας.

17a 223 οὐ μὴν οὐδὲ λογικῆς ἀποδείξεως ἡγοῦμαι δεῖσθαι τὸ πρᾶγμα τὴν κρίσιν ἐκ πείρας λαμβάνον. εἰ μὲν γὰρ ἀκριβῶς ἑώρακέ τις πολλάκις ἤτοι δ ι ’ ἑβδόμης ἢ ἐνάτης ἡμέρας τοὺς παροξυσμοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γιγνομένους (οὐ γὰρ δεῖ δὶς ἢ τρίς), εἴη ἂν οὗτος πεπεισμένος εἶναί τινας καὶ τοιαύτας περιόδους. εἰ δ’ οὐχ ἑώρακεν ἐκ νεότητος εἰς γῆρας ἐπεσκεμμένος ἀρρώστους οὕτω πυρέττοντας παμπόλλους, εὔδηλον αὐτῷ τοῦτο πάλιν, ὡς οὐ γίνονται περίοδοι τοιαῦται. πρὸς δ’ οὖν τὸν Ἱπποκράτην τάχα καὶ λογικὴν ἄν τις ἀπόδειξιν εἴποι, καθάπερ ὁ Διοκλῆ c. “ἐπὶ τίσι γὰρ ἐρεῖς [τίσι] σηπεδόσιν ἢ χυμοῖς τὴν πεμπταίαν ἢ ἑβδομαίαν ἢ ἐναταίαν γίνεσθαι περίοδον οὐχ ἕξεις.” οὐ μὴν οὐδ’ ἔγραψέ τινα ἡμῖν ἄρρωστον οὕτω νοσήσαντα, καίτοι γ’ ἐχρῆν, ὥσπερ ἄλλων πολλῶν καθολικῶν θεωρημάτων παραδείγματα διὰ τῶν κατὰ μέρος ἐδίδαξεν, οὕτω κἀπὶ τούτων ποιῆσαι.

17a 224 γιγνώσκειν μέν τοι χρὴ τὴν ἀρχὴν τῆς λέξεως ἐν πολλοῖς τῶν ἀντιγράφων κατὰ τὸ καλούμενον ἀσύνδετον εἶδος τῆς ἑρμηνείας γεγραμμένην ὡδί πως· πυρετοὶ συνεχέε c , ἡμέρην ἔχους ι , νύκτα διαλείπους ι , νύκτα ἔχουσι ν , ἡμέρην διαλείπουσι ν. εἰπὼν δ’ ἀσύνδετον ὀνομάζεσθαι τὸ τοιοῦτον εἶδος ἐδήλωσά σοι καὶ τὴν ἐξήγησιν αὐτοῦ. χρὴ γὰρ ὡς ἐν καταλόγῳ τῶν εἰρημένων ἀκούειν ἡμᾶς, προστιθέντας τοὺς παραλελειμμένους ἐν ταῖς λέξεσι συνδέσμους. Εἰσὶ δ ’ ὀξύταται μὲν καὶ μέγισται καὶ χαλεπώταται νοῦσοι καὶ θανατωδέσταται 〈ἐν τῷ συνεχεῖ πυρετ ῷ .〉 Ἡ μὲν ἀκριβεστάτη τούτων ἁπάντων διδασκαλία λέλεκται κατὰ τὰ Περὶ διαφορᾶς πυρετῶν ὑπομνήματα, καὶ νῦν, ὡς εἶπον ἤδη πολλάκις, οὐκ ἀποδεικνύναι μοι πρόκειται τἀληθὲς οὐδὲ διδάσκειν ἅπαντα τὰ κατὰ μέρος, ὡς μηδὲν παραλιπεῖν, ἀλλὰ τὴν λέξιν ἐξηγεῖσθαι τοῦ παλαιο ῦ.

17a 225 τὰ δ’ οὖν κεφάλαια τῆς ἐμπιπτούσης ἑκάστοτε θεωρίας οὐ παρήσω. λέγει τοίνυν ὀξυτάτας μὲν 〈καὶ μεγίστας〉 καὶ χαλεπωτάτας νόσους εἶναι κατὰ τὸν συνεχῆ πυρετό ν , ὀξυτάτας μὲν λέγων τὰς ἐν ὀλίγῳ χρόνῳ τὰς κρίσεις λαμβανούσας, μεγίστας δὲ τὰς ἰσχυροτάτας, χαλεπωτάτας δὲ τὰς κίνδυνον ἐπιφερούσας, ὅπερ ἐξηγούμενος αὐτὸς ἐπήνεγκε, θανατωδεστάτας εἰπὼν αὐτάς. ὁποτέρως δ’ ἂν ἀκούῃς εἰρῆσθαι τὸν συνεχῆ πυρετόν, ἀληθής ἐστιν ὁ λόγος. ὀξύταται γὰρ νόσοι καὶ μέγισται καὶ χαλεπώταται κατά τε τοὺς ἰδίως λεγομένους συνόχους γίγνονται πυρετοὺς καὶ κατὰ τοὺς ἄλλους οὐδὲν ἧττον, ὅσοι διὰ τῶν κατὰ μέρος προέρχονται παροξυσμῶν ἀρχὰς καὶ ἀναβάσεις, ἀκμὰς καὶ παρακμὰς ποιούμενοι σαφεῖς ἄνευ τοῦ λήγειν εἰς ἀπυρεξίαν· ὑπὲρ ὧν ἄμεινον ἀκούειν νῦν, ἐπειδὴ καὶ τοὺς συνόχους ἐν τούτοις περιέχεσθαι συμβέβηκεν, οὐ μὴν ἐν τοῖς συνόχοις γε τούτους. ἐὰν οὖν ἀκούσῃ τις περὶ μόνων τῶν συνόχων εἰρῆσθαι τὸν λόγον, ἐξαιρεῖσθαι δόξει τοὺς ἄλλους συνεχεῖς, ὡς οὔτε κινδυνώδεις ὄντας οὔτε σφοδροὺς οὔτ’ ὀξεῖς.

17a 226 Ἀσφαλέστατος δ ’ ἁπάντων καὶ ῥήιστος καὶ μακρότατος ὁ τεταρταῖο c . οὗτος γὰρ οὐ μόνον αὐτὸς ἐ φ ’ ἑωυτοῦ τοιοῦτός ἐστι ν , ἀλλὰ καὶ νοσημάτων ἑτέρων μεγάλων ῥύετα ι . Ῥήιστον εἶπε τὸν τεταρταῖον ἐν ἴσῳ τῷ εὔφορον. οἱ γάρ τοι συνεχεῖς τῶν πυρετῶν μηδεμίαν ἔχοντες τῶν ὀχληρῶν ἀνάπαυλαν ἄχρι κρίσεως, ἀλλὰ καὶ διηνεκῶς βαρύνοντες, εἰκότως δύσφοροι λέγονταί τε καὶ εἰσίν. ἐν δὲ τῷ τεταρταί ῳ, καὶ μάλισθ’ ὅταν ᾖ μέτριος, ἔνεστι καὶ προιέναι ταῖς μέσαις τῶν παροξυσμῶν ἡμέραις καί τι καὶ πράττειν ἐνίοτε τῶν συνήθων. χρὴ δὲ γιγνώσκειν σε καὶ τὸ τῶν παλαιῶν ἔθος, ὅταν ἀκούσῃς αὐτῶν περὶ πυρετῶν διαλεγομέ νων.

17a 227 ἐὰν γοῦν ἥπατος 〈ἢ σπληνὸς ἢ πνεύμονος〉 ἢ πλευρᾶς ἢ ἄλλου τινὸς μορίου φλεγμονῇ πυρετὸς ἕπηται, πλευρῖτιν ἢ περιπνευμονίαν ἢ 〈σπληνῖτιν ἢ〉 ἡπατῖτιν ὀνομάζουσι τὴν νόσον, οὐ πυρετόν. τὸν δ’ ἄνευ φλεγμονῆς πυρέττοντα πυρετόν φασι νοσεῖν. καὶ νῦν δ’ ἄκουε περὶ ὧν διαλέγεται πυρετῶν οὕτως εἰρῆσθαι τὸν λόγον, ἐπεί τοι πολλάκις εἴδομεν ἐπὶ σπληνὶ μεγάλως πυρέττοντας ἀνθρώπους τεταρταῖον, κἄπειτα ἐν 〈τῷ〉 χρόνῳ παρεγχύσεως ὑδερικῆς γενομένης ἀποθανόντας. ἀλλ’ αὐτὸς καθ’ ἑαυτὸν ὁ τεταρταῖος ἀκίνδυνός ἐστιν, ὅς γε καὶ ἄλλων νοσημάτων ῥύεται. παυσαμένας γοῦν ἐπιληψίας ἴσμεν ἐπὶ τεταρταίῳ χρονίως ἐνοχλήσαντι, καὶ μεμάθηκας ἤδη περὶ τῆς γενέσεως αὐτοῦ κατά τε τὰ Περὶ διαφορᾶς πυρετῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπομνήματα καὶ τὰ Περὶ κρίσεων. Ἐν δὲ τῷ ἡμιτριταίῳ καλεομένῳ ξυμπίπτει μὲν καὶ ὀξέα νοσήματα γίνεσθα ι , καὶ ἔστι τῶν λοιπῶν οὗτος θα νατωδέστατο ϲ .

17a 228 ἀτὰρ 〈καὶ〉 φθινώδεες καὶ ὅσοι ἄλλα μακρὰ νοσήματα νοσέουσι ν , 〈ἐπὶ τούτῳ μάλιστα νοσέουσι ν .〉 Οὐ δύναμαι πεῖσαι τοὺς πολλοὺς τῶν ἰατρῶν διακρῖναι τὴν τῶν πραγμάτων αὐτῶν ἐπίσκεψιν τῆς περὶ τῶν ὀνομάτων τε καὶ σημαινομένων, καὶ συγγινώσκειν αὐτοῖς δίκαιον. ὅπου γὰρ Ἀγαθῖνο ϲ, ἵνα τοὺς ἄλλους παραλείπω, βιβλίον ὅλον ἔγραψε τὸ πρῶτον περὶ ἡμιτριταίου, τὸ σημαινόμενον ἐκ τῆς προσηγορίας ζητῶν ἐν αὐτῷ, πῶς οὐκ ἄν τις καὶ τούτοις συγγνοίη; καίτοι γε ῥᾶστον ἦν ἰδίαν μὲν τῶν ὁρωμένων ποιήσασθαι διδασκαλίαν τῶν ἐν τῇ περιοδίᾳ, ἰδίαν δὲ τῶν ἐπ’ αὐτοῖς ὀνομάτων, ὥσπερ ἐγὼ νῦν ποιήσομαι. τῶν γὰρ διὰ τρίτης παροξυνομένων πυρετῶν οἱ μὲν εἰς ἀπυρεξίαν λήγουσιν, οἱ δὲ οὔ. καὶ πάλιν ἑκατέρου τούτων ἡ διαφορὰ τοιάδ’ ἐστί· τῶν εἰς ἀπυρεξίαν ληγόντων ἔνιοι μὲν ἐντὸς ὡρῶν δώδεκα τὸν παροξυσμὸν ἔχουσι περιγραφόμενον, ἔνιοι δ’ ἐπὶ πλέον ἐκτεινόμενον· τῶν δὲ μὴ ληγόντων εἰς ἀπυρεξίαν ἔνιοι μὲν φρικώδεις ὄντες, ὅταν ἀπὸ τῆς πρώτης εἰσβολῆς ἐπὶ τὴν καλουμένην ἀνάβασιν ἔρχωνται, 〈τὴν πρώτην φρίκην ποιοῦνται,〉 κἂν δοκῶσιν ἤδη μετρίως προεληλυθέναι, πάλιν ἑτέραν φρίκην μετὰ συστολῆς ποιοῦνται καὶ μετὰ ταύτην αὖθις ἑτέραν ἀνάβασιν, εἶτα ἀπ’ ἐκείνης ἄλλην συστολήν τε καὶ φρίκην, δὶς γὰρ καὶ τρὶς οὗτοι ὑποστρέφουσι· κατὰ δὲ τὴν δευτέραν ἡμέραν ἕτερον ἴσχουσι παροξυσμὸν ἐλάττονα τοῦ προτέρου χωρὶς τῶν προτέρων ἐπαναλήψεων, καὶ τοῦτο ἐφεξῆς αὐτοῖς ἀεὶ κυκλεῖται δυοῖν παροξυσμοῖν οἵοιν εἴρηκα γιγνομένοιν ἐν ἡμέραις δύο.

17a 229 καὶ μὴν καὶ ἄλλοι τινὲς διὰ τρίτης παροξυνόμενοι χωρὶς τῶν εἰρημένων φρικωδῶν εἰσβολῶν τε καὶ ἐπαναλήψεων ἕνα παροξυσμὸν ἴσχουσι διὰ τρίτης, οὐ παροξυνόμενοι τῇ δευτέρᾳ. μίαν 〈οὖν〉 οὗτοι καὶ συνεχῆ καὶ ὁμαλὴν τὴν ἐπὶ τὴν ἀκμὴν ἀπὸ τῆς εἰσβολῆς ἀνάβασιν ἔχουσιν. αὕτη μέν σοι τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν ἡ διαφορά, φαινομένη συνεχῶς ἐπὶ τῶν καμνόντων. ἐδείχθη δ’ ὑφ’ ἡμῶν ὁ μὲν φρικώδης πυρετὸς ἐπὶ χολώδει καὶ φλεγματώδει χυμῷ συνιστάμενος, ὁ δὲ χωρὶς φρίκης ἐπὶ τῷ χολώδει μέν, ἀλλὰ δυσκινητοτέρῳ τε καὶ δυσπεπτοτέρῳ, φέρουσι δ’ αὐτὸν καὶ φλεγμοναὶ κυρίων μορίων.

17a 230 τῶν δὲ μετὰ ῥίγους μὲν εἰσβαλλόντων, εἰς ἀπυρεξίαν δὲ ληγόντων ἅμα χολώδεσιν ἐμέτοις ἢ διαχωρήσεσιν ἢ ἱδρῶσιν ἡ ξανθὴ χολὴ κινουμένη δι’ ὅλου τοῦ σώματος αἰτία. τούτων μὲν οὖν οὕτως ἐχόντων, ὡς εἴρηται, τὸ μὲν ἤτοι τὴν αἰτίαν ἑκάστου ζητεῖν ἢ τὴν θεραπείαν ἰατρικόν τι καὶ χρήσιμόν ἐστι πρᾶγμα, τὸ δέ, τί καλέσει τις ἕκαστον τῶν εἰρημένων ὀρθῶς, οὐκέτι τῆς ἰατρικῆς τέχνης ἴδιον, ἀναγκαῖόν γε μὴν γιγνόμενον, ὅταν βούληταί τις ἑτέρους διδάσκειν ἀναγινώσκειν. τὰς γὰρ ἐπὶ τῶν καμνόντων γιγνομένας ἡμῖν διαγνώσεις τε τῶν 〈παρόντων〉 παθῶν καὶ προγνώσεις τῶν ἐσομένων καὶ θεραπείας ὁρῶμεν οὐδὲν δεομένας τῆς ἐν τοῖς ὀνόμασιν ἀκριβείας. οὐδὲ γὰρ ἀπὸ τούτων οἱ ἰδιῶται κρίνουσι τοὺς ἰατρούς, ἀλλ’ ὅταν ἐπὶ φλεβοτομίᾳ τὸν κάμνοντα ῥᾳστωνήσαντα θεάσωνται καὶ τροφὴν ἐν καιρῷ λαβόντα (καὶ γὰρ καὶ τούτῳ κρίνειν ἰδιώτης δύναται) εἶτα θεασάμενος οὐκ εὐθέως ἐπὶ τῇ τροφῇ τὴν ἀρχὴν τοῦ παροξυσμοῦ γενομένην, ἀλλὰ μετὰ χρόνον πλείονα τὸν ἰατρὸν ἐπαινεῖ κἂν αὖ ψυχροῦ δέῃ, τότε δόντα καὶ λούσαντα τὸν ἄρρωστον ἀπύρετον ἤδη πεποιηκότα, παραχρῆμα θαυμάζει, καθάπερ γε κἂν εἰ προείποι τι τῶν ἐσομένων.

17a 231 ἀπὸ τούτων μὲν οὖν ὁ ἰατρὸς ἀκριβῶς τε καὶ ἀληθῶς εὐδοκιμεῖ, σοφιστὴς δὲ κατατρίβει τὸν χρόνον ἑαυτοῦ τε καὶ τῶν μαθητῶν, ὑπὲρ ὀνομάτων τε καὶ σημαινομένων ἐρίζων. ἐπεὶ δὲ τὸ προκείμενον ἡμῖν νῦν ἐστιν, οὐκ αὐτὰ τὰ πράγματα διδάξαι τῆς τέχνης (ἐν ἑτέροις γὰρ τοῦτο ἐπράξαμεν αὐτάρκως), ἀλλὰ τὴν Ἱπποκράτους γνώμην ἐπισκέψασθαι διὰ συντόμων, καὶ τοῦτο δυνατὸν ὧδε ποιῆσαι. λέλεκται μὲν 〈γὰρ〉 αὐτῷ καὶ πρόσθεν· “ἦν δὲ τοῖς πλείστοισιν αὐτῶν τὰ παθήματα φρικώδεες πυρετοί, συνεχέες, ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες. ὁ δὲ τρόπος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμιτριταῖος, μίαν κουφότεροι, τῇ δ’ ἑτέρῃ ἐπιπαροξυνόμενοι.” καὶ νῦν δὴ πάλιν ἡ ῥῆσις αὕτη φησίν· ἐν δὲ τῷ ἡμιτριταίῳ συμπίπτει μὲν καὶ ὀξέα νοσήματα καὶ ἔστι τῶν ἄλλων οὗτος θανατωδέστατο c.

17a 232 ὅτι μὲν οὖν θανατώδης ἐστὶν ὁ ἡμιτριταῖος ἄντικρυς εἴρηκεν αὐτὸς ὁ Ἱπποκράτη c. ὅτι δὲ τῶν εἰς ἀπυρεξίαν ληγόντων οὐδείς ἐστι θανατώδης ἄντικρυς ἐν Ἀφορισμοῖς ἐδήλωσεν εἰπών· “πυρετοί, ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ’ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.” πῶς 〈οὖν〉 ἄν τις ἐκ τῶν εἰς ἀπυρεξίαν ληγόντων εἴποι τὸν ἡμιτριταῖον, ἑπόμενος Ἱπποκράτε ι; καὶ μὴν οἱ λέγοντες, ἐάν τις ὥραις τέτταρσι καὶ εἴκοσιν ἀπύρετος γίγνηται, τὸν μέσον ἔχειν αὐτὸν ἡμιτριταῖον, ἐκ τῶν διαλειπόντων ποιοῦσιν οὗτοι τὸν πυρετὸν τοιοῦτον. οὕτως δὲ καὶ 〈οἱ〉 τὸν μέγαν καὶ τὸν μικρὸν ὡρῶν ἀριθμῷ διαφέρειν τοῦ μέσου φάσκοντες, εἰς ἀπυρεξίαν περιάγειν ἀμφοτέρους βουλόμενοι, τῆς Ἱπποκράτους ἀποχωρήσουσι γνώμης, ἐν τοῖς διαλείπουσι πυρετοῖς τὸν ἡμιτριταῖον ἄγοντες. ἀκίνδυνος γὰρ οὗτος ἔσται, καίτοι θανατώδης ὑπ’ αὐτοῦ λεγόμενος. ἄμεινον οὖν ἐστι τῶν μὲν ὀνομάτων, ὡς εἴρηται, καταφρονεῖν, ἀσκοῦντα διαγνώσεις τε καὶ προγνώσεις καὶ θεραπείας ἑκάστου τῶν πυρετῶν.

17a 233 ἐπεὶ δὲ σαφεστέρα τε καὶ συντομωτέρα διὰ τῶν ὀνομάτων ἡ διδασκαλία γίνεται, προδιηγησάμενοι λόγῳ τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν τὰς διαφοράς, ὡς ἀρτίως ἐποιήσαμεν καθ’ ἑκάστην αὐτῶν ἰδίαν προσηγορίαν, 〈καὶ〉 ὥσπερ εἰώθαμεν πράττειν ἑκάστοτε διελόμενοι τὰς διαφορὰς τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν ἐφεξῆς τὸν ἐντὸς τῶν δώδεκα ὡρῶν παυόμενον ἀκριβῆ τριταῖον ὀνομάσομεν ἕνεκα συντόμου διδασκαλίας. ὅστις δ’ ἂν ἔχῃ πολυχρονιώτερον τούτου τὸν παροξυσμόν, ὅμως μὴν ἔτι μακροτέραν αὐτοῦ τὴν ἄνεσιν, ἐκεῖνον ἁπλῶς τριταῖον ὀνομάσομεν. ὅστις δ’ ἂν ἐπὶ πλεῖστον μὲν ἐκτεταμένον 〈ἔχῃ〉 τὸν παροξυσμόν, ὀλίγον δὲ τὸ διάλειμμα, τοῦτον αὖ πάλιν ὀνομάσομεν ἐκτεταμένον τριταῖον. ὅστις δ’ ἂν μὴ παυσάμενος εἰς ἀπυρεξίαν φρικώδεις μὲν τῇ προτέρᾳ τῶν ἡμερῶν ἐπαναλήψεις ποιῆται, κατὰ δὲ τὴν δευτέραν ἁπλοῦν ἕνα παροξυσμόν, τοῦτον ἡμιτριταῖον ὀνομάσομεν· εἰ δ’ ἁπλῶς διὰ τρίτης παροξύνοιτο, τριταιοφυῆ. πάντ’ ἔχεις ἐν τούτῳ τῷ λόγῳ διωρισμένα, τά τ’ ἄχρηστα καὶ χρήσιμα.

17a 234 τούτων οὖν 〈ἀναγκαῖόν〉 ἐστι διὰ παντὸς μεμνῆσθαι καὶ πρόχειρον ἔχειν τὴν γνῶσιν αὐτῶν. οὕτως γὰρ καταγνώσῃ τῆς τῶν νεωτέρων ἰατρῶν φλυαρίας, ἣν περὶ τῶν εἰρημένων ὀνομάτων ἐποιήσαντο, περὶ τῶν πραγμάτων οἰόμενοι διαλέγεσθαι. ἀλλ’ ὅτι μὲν οὐδένα τῶν γοῦν εἰς ἀπυρεξίαν ἀφικνουμένων πυρετῶν ὁ Ἱπποκράτης ἡμιτριταῖον ὀνομάζει, δέδεικται· πότερον δ’ ἐκεῖνον μόνον, ὃν ἐγώ 〈γ’ ἡμιτριταῖον 〉 ἰδίως καλεῖν εἴωθα, τὸν τὰς φρικώδεις ἐπαναλήψεις ποιούμενον ἢ καὶ τὸν ἄνευ τούτων γινόμενον, ἄξιόν ἐστι σκέψεως. εἰ γὰρ καὶ τοῖς φθινώδεσι καὶ ἄλλοις χρονίως νοσοῦσιν ὁ πυρετὸς οὗτος εἴωθε συμπίπτειν, ἴσως, εἰ καὶ χωρὶς φρίκης γίγνοιτο, καλέσομεν αὐτὸν ἡμιτριταῖον, ἐὰν τῇ δευτέρᾳ τῶν ἡμερῶν ἐπιπαροξύνηται. ἀλλ’ ὅπερ ἔφην, ὑπὲρ ὀνόματος οὔσης τῆς ζητήσεως οὐδὲν ἄτοπόν ἐστι, κἂν μὴ γνῶμεν ἀκριβῶς, ἐπὶ τίνος πυρετοῦ μάλιστα τὴν ἡμιτριταίαν ἐπιφέρει φωνὴν ὁ Ἱπποκράτη c. ὁπόταν γὰρ αὐτοῦ τὴν περὶ τοὺς πυρετοὺς τέχνην ἐκμάθωμεν, ἕξομεν ὧν δεόμεθα πρὸς τὰ τῆς τέχνης ἔργα, χωρὶς τῶν ἐπ’ αὐτοῖς ὀνομάτων.

17a 235 τάχα δ’ ἂν εἶναι δόξειεν οἰκεῖον ἑξῆς σκέψασθαι, διὰ τί προσέθηκεν ὁ Ἱπποκράτης τὸ καλεόμενον καὶ οὐχ ἁπλῶς εἶπεν· “ἐν δὲ τῷ ἡμιτριταίῳ συμπίπτει μὲν καὶ ὀξέα νοσήματα.” δοκεῖ δή μοι μέμφεσθαι τὴν προσηγορίαν ὡς ἄκυρον. ἐπὶ γὰρ τῶν ἐνδεεστέρως ἐχόντων κατὰ τὰ τέλεια τὴν τοῦ ἡμίσεος προσθήκην ποιούμεθα, φάσκοντες ἡμιθνῆτα καὶ ἡμίθνητον καὶ ἡμίθεον καὶ ἡμίφωνον, ἡμιόνόν τε καὶ τὸ ἡμίοπτον, ὅσα τε ἄλλα τοιαῦτα λέγοντες. ὁ δ’ ἡμιτριταῖος οὐ μόνον οὔκ ἐστιν ἥμισυς τῷ πλήθει τῶν συμπτωμάτων ἢ τῇ δυνάμει [καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτων] τῆς ὅλης διαθέσεως, ἀλλὰ καὶ πολὺ χείρων τοῦ τριταίου, ὥστ’ ἄμεινον εἶναι δοκεῖν ἐκεῖνον τούτου λέγειν ἥμισυν, οὐκ ἐκείνου τοῦτον. οὐκοῦν οὐκ οἶδα, τί δόξαν αὐτοῖς οὕτως 〈μᾶλλον〉 ὠνόμασαν οἱ πρῶτοι θέμενοι τὴν προσηγορίαν ἢ ἄλλως. ἐνδέχεται γὰρ αὐτούς, [καὶ] διότι τοῦ τριταίου πυρετοῦ τὸ διὰ τρίτης τε παροξύνειν 〈καὶ〉 τὸ εἰς ἀπυρεξίαν λήγειν ἔχοντος ὁ ἡμιτριταῖος ἓν μὲν ἔχει τούτων, ἓν δ’ οὐκ ἔχει, ταύτην θέσθαι τὴν προσηγορίαν· τὸ μὲν γὰρ διὰ τρίτης παροξύνειν ἔχει, τὸ δ’ εἰς ἀπυρεξίαν λήγειν οὐκ ἔχει.

17a 236 ἐνδέχεται δὲ καί, διότι καὶ τὸ μετὰ ῥίγους εἰσβάλλειν οὐκ ἔχει καὶ πρὸς τούτοις γ’ ἔτι τὸ μετ’ ἐκκρίσεως παύεσθαι, καὶ μέντοι καὶ 〈δι〉ότι τὴν δευτέραν ἡμέραν οὐκ ἔχει καθαράν. ἐνδέχεται δὲ καὶ ἄλλο τι τοιοῦτον εἰπεῖν τοῖς τὴν μὲν ἄχρηστον σοφίαν ἀσκοῦσι, τὰ δ’ ὄντως χρήσιμα τῆς τέχνης παραλείπουσιν. Νυκτερινὸς οὐ λίην θανατώδη c , μακρὸς δ έ . ἡμερινὸς μακρότερο c · ἔστι δ ’ οἷσι ῥέπει καὶ ἐπὶ τὸ φθινῶδε c . Τῶν μὲν ἐν ἀρχῇ πυρετῶν τὸν κατάλογον ἔγραψεν ἁπλῶς, τούτων δ’ ἑξῆς τὰ ἤθη διδάσκει. προειρηκὼς οὖν ἐν τῷ καταλόγῳ· “πυρετοὶ οἱ μὲν συνεχέες, οἱ δὲ ἡμέρην ἔχουσι, νύκτα διαλείπουσι, νύκτα ἔχουσιν, ἡμέρην διαλείπουσιν”, εἶτα περὶ τῶν συνεχῶν διελθών, ὁποῖοί τινές εἰσι, καὶ προσθεὶς αὐτοῖς ἐφεξῆς τὴν περὶ τοῦ τεταρταίου τε καὶ ἡμιτριταίου διδασκαλίαν, ἐπὶ τοὺς τῇ μὲν ἡμέρᾳ παροξυνομένους, τῇ δὲ νυκτὶ διαλείποντας ἢ τῇ μὲν νυκτὶ παροξυνομένους, τῇ δ’ ἡμέρᾳ διαλείποντας ἀφίκετο, καλέσας αὐτῶν τὸν μὲν ἕτερον νυκτερινόν, τὸν δ’ ἕτερον ἡμερινό ν , νυκτερινὸν μὲν τὸν ἐν νυκτὶ παροξυνόμενον, ἡμερινὸν δὲ τὸν ἐν ἡμέρᾳ.

17a 237 δι’ ὧν δ’ ἐπαινεῖν ἔδοξε τὸν νυκτερινόν, οὐδὲν ἧττον ἔψεξε διὰ τῶν αὐτῶν, οὐχ ἁπλῶς εἰπών· “νυκτερινὸς οὐ θανατώδης”, ἀλλὰ τὸ οὐ λίην προσθείς. εἰ γὰρ οὐ λίην θανατώδη c, εὔδηλον ὅτι θανατώδης μετρίως. τὸν δ’ ἡμερινὸν οὐ μόνον μακρότερον εἶπεν εἶναι τοῦ νυκτερινο ῦ, ἀλλὰ καὶ ἐπὶ [ πρὸ c ] τὸ φθινῶδες ἐνίοτε ῥέπειν, ὥστε καὶ κατὰ τοῦτο μοχθηρότερον εἶναι. τοῦτο μὲν γὰρ ἐν ᾧ χρόνῳ διαφορεῖσθαι καὶ ἀραιοῦσθαι μᾶλλον εἴωθεν ἢ συστέλλεσθαι καὶ πυκνοῦσθαι τὸ σῶμα, παροξυνόμενος εἰκότως κακοηθέστερος εἶναι δοκεῖ, τοῦτο δὲ καὶ τὸν καιρὸν τῆς προνοίας ἔχων ἀήθη. καθ’ ὃν γὰρ χρόνον ἐχρῆν κοιμᾶσθαι, κατὰ τοῦτον ἀναγκαῖόν ἐστι τῆς ἰατρικῆς προνοίας τυγχάνειν τοὺς κάμνοντας.

17a 238 καὶ διὰ τοῦτο καταφθείρονται τῷ χρόνῳ καὶ φθίνουσι, δυοῖν θάτερον, εἰ μὲν δὴ κοιμῷντο νυκτός, ἐνδεῶς ἀπολαύοντες ὕπνου, εἰ δ’ ἡμέρας, νυκτερίδων βίον, οὐκ ἀνθρώπων βιοῦντες. Ἑβδομαῖος μακρό c , οὐ θανατώδη c . ἐναταῖος ἔτι μακρότερο c , οὐ θανατώδη c . Οὔθ’ Ἱπποκράτει καλὸν ἀπιστεῖν, (ἐμφαίνει γάρ, ὡς ἑωρακὼς ταῦτ’ ἔγραψε,) οὔτε ψεύδεσθαι προσήκει λέγοντα καὶ αὐτὸν ἑωρακέναι. παραφυλάττειν οὖν ὑμᾶς φιλοπόνως προσήκει καὶ τῇ πείρᾳ κρίνειν τὸ ἀληθές, ἀλλ’ ὅπως μὴ πάθητε τοῖς πολλοῖς ὁμοίως, οἳ θεασάμενοι κατά τινα τύχην δι’ ἑβδόμης ἡμέρας πυρέξαντα τὸ δεύτερόν τε καὶ τρίτον ἀπὸ τῆς ἀρχῆς ὑπέλαβον ἑβδομαίαν εἶναί τινα περίοδον. ἐνδέχεται γάρ ποτε τοῦτο καὶ κατὰ συντυχίαν ἅπαν τῆσαι, καὶ μέντοι καὶ κατὰ τὸ τῆς διαίτης ὁμοειδές.

17a 239 ὅσοις γὰρ τῶν νοσούντων οὐκ ἀκριβῶς ἡ νοσώδης ἐπαύσατο διάθεσις, ἀλλ’ ἔμεινεν αὐτῆς τι σπέρμα, τούτοις ἀμελέστερον διαιτηθεῖσι συμβαίνει πολλάκις μὲν ἕκτῃ μετὰ τὴν πρώτην ἡμέραν πυρέξαι, πολλάκις δ’ ἑβδόμῃ, πολλάκις δ’ ὀγδόῃ, πολλάκις δ’ ἄλλῃ τινὶ καὶ τοῦ πυρετοῦ παυσαμένου δόξασιν ἀκριβῶς ἀπηλλάχθαι, πάντα ὁμοίως διαιτηθεῖσιν ἐπὶ τῷ καταλειφθέντι τῆς νόσου σπέρματι δι’ ἴσων ἡμερῶν εἰς τὴν αὐτὴν ἀφικομένοις διάθεσιν ὡσαύτως πυρέξαι. καὶ δυνατὸν γίγνεσθαι τοῦτο πολλάκις, ὅταν ἴσον μὲν ᾖ τὸ καταλειπόμενον τῆς διαθέσεως, ὁμοίως δὲ καὶ οἱ κάμνοντες διαιτῶνται. τοῦτ’ οὖν 〈οὐκ〉 ὄντως περίοδός ἐστι νοσώδης, ὅταν ἀκριβῶς διαιτηθέντων αὐτῶν κατὰ τὴν αὐτὴν ἀφικνῆται προθεσμίαν ὁ πυρετός, ὥσπερ ἐπὶ τοῦ τεταρταίου φαίνεται γιγνόμενον. Τριταῖος ἀκριβὴς ταχυκρίσιμος καὶ οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θανατώδη c . Εἴρηται μικρῷ πρόσθεν, ὡς ἐν τύπῳ φάναι, τὸν ὀλιγοχρόνιον ἔχοντα παροξυσμὸν ἀκριβῆ τριταῖον εἶναι.

17a 240 τὰ δ’ ὡς τὸ πολὺ τούτῳ συνυπάρχοντα πάντα εἴρηται κατά τε τὰ Περὶ διαφορᾶς πυρετῶν καὶ τὰ Περὶ κρίσεων ὑπομνήματα. Ὁ δὲ πεμπταῖος πάντων κάκιστο c · καὶ γὰρ πρὸ φθίσιος καὶ ἤδη φθίνουσιν ἐπιγενόμενος κτείνε ι . Οἱ φθίνοντες ἑκτικὸν πυρέττουσι πυρετὸν οὐδέποτε παυόμενον, οὗ τὴν φύσιν ἅπασαν, ὥσπερ καὶ τῶν ἄλλων, ἔμαθες ἐν τοῖς Περὶ διαφορᾶς πυρετῶν. ἤδη δέ τισιν αὐτῶν εἶδον ἐπιπεπλεγμένον τινὰ τῶν περιοδικῶν, ἤτοι τῶν διὰ τρίτης ἢ καὶ τῶν καθ’ ἑκάστην ἡμέραν παροξυνομένων, ὡς δ’ Ἱπποκράτης φησί, καὶ τὸν διὰ πέμπτη c, ὑπὲρ οὗ καὶ αὐ τοῦ νόμιζέ σοι τὰ αὐτὰ λελέχθαι πρὸς ἡμῶν, ἃ καὶ περὶ τῶν ἑβδομαίων τε καὶ ἐναταίων ὀλίγον ἔμπροσθεν ἤκουσας.

17a 241 Εἰσὶ δὲ τρόποι καὶ καταστάσιες καὶ παροξυσμοὶ τούτων ἑκάστου τῶν πυρετῶ ν . αὐτίκα γὰρ συνεχής ἐστιν οἷσιν 〈ἀρχόμενος〉 ἀνθεῖ καὶ ἀκμάζει μάλιστα καὶ ἀνάγει ἐπὶ τὸ χαλεπώτατο ν , περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἀπολεπτύνεται · ἔστι δ ’ οἷσιν ἄρχεται μαλακῶς καὶ ὑποβρύχι α , ἐπαναδιδοῖ 〈δὲ〉 καὶ παροξύνεται κα θ ’ ἡμέρην 〈ἑκάστην 〉 , περὶ δὲ κρίσιν ἅλις ἐξέλαμψεν · ἔστι δ ’ οἷσιν ἀρχόμενος πρηέως ἐπιδιδοῖ καὶ παροξύνεται καὶ μέχρι τινὸς ἀκμάσας πάλιν ὑφίησι μέχρι κρίσεως καὶ περὶ κρίσι ν . συμπίπτει δὲ ταῦτα [ κα ὶ ] γίνεσθαι ἐπὶ παντὸς πυρετοῦ καὶ ἐπὶ παντὸς νοσήματο c . Τρόπους πυρετῶν ἐνίοτε μὲν τὰ ἤθη καλοῦσιν, ἐνίοτε δὲ τὰς διαφοράς, καταστάσεις 〈δὲ τὰς αὐτῶν φύσεις〉 .

17a 242 τὰ ἤθη δὲ νῦν αὐτὸς δῆλός ἐστιν ἑκάστου τῶν προειρημένων πυρετῶν προηρημένος γράψαι. τὸν γοῦν συνεχῆ φησιν ἄρχεσθαι μὲν ἐνίοις σφοδρότατα, κατὰ βραχὺ δὲ ἀπολεπτύνεσθαι μέχρι κρίσεω c , ἐνίοτε δὲ μετρίως ἀρξάμενον αὐξάνεσθαι κατὰ βραχὺ μέχρι κρίσεω c, ἐν ᾗ φησιν ἐκλάμπειν αὐτό ν. οὗτοι μὲν οὖν ἐναντίαν ἀλλήλοις ἔχουσι τὴν κίνησιν. ἄλλον δὲ τρόπον ἐπ’ αὐτοῖς τρίτον εἶναί φησι σύνθετον ἐξ ἀμφοῖν, ὅταν ἄρχηται μὲν πραέω c , αὐξηθεὶς δὲ κατὰ βραχὺ καὶ τὸ τέλειον ἀπολαβὼν μέγεθος ὑφιῇ μέχρι λύσεως παντελοῦς. τούτους 〈οὖν〉 τοὺς τρεῖς τρόπους οἴονταί τινες αὐτὸν λέγειν ἐπὶ τῶν συνεχῶν πυρετῶν, οὐκ ἀκούοντες ὧν ἐπὶ τῷ τέλει τῆς ῥήσεως ἔγραψε· συμπίπτει δὲ ταῦτα γίνεσθαι ἐπὶ παντὸς πυρετοῦ καὶ νοσήματο c, ὥστ’ οὐκέτι τῶν συνεχῶν μόνον, ἀλλὰ καὶ πάντων τῶν ἄλλων πυρετῶν, ὅσοι γε συνεχεῖς καὶ 〈διαλείποντες καὶ ὀξεῖς καὶ〉 πολυχρόνιοι, καὶ μέντοι καὶ παντὸς ἄλλου νοσήματος, ὀξέος τε δηλον ότι καὶ χρονίου, τοὺς αὐτοὺς τρόπους φησὶ γίνεσθαι τρεῖς.

17a 243 καὶ τὰ συμπτώματα δὲ κατὰ τὸν αὐτὸν λόγον κινεῖται [τὰ] πάντα. φέρε γὰρ ἐπ’ ἀλγήματος ἡμᾶς σκοπεῖσθαι τοῦτο· πολλάκις μὲν εἰσβάλλον σφοδρότατον, ἀπομαραίνεται κατὰ βραχὺ μέχρι παντελοῦς λύσεως, ἐνίοτε δ’ ἀρξάμενον πρᾶον, ἐπὶ τὸ σφοδρότατον αὐξηθὲν κατὰ βραχὺ ταχεῖαν ἔσχε τὴν λύσιν. αὖθις δέ ποτε μετὰ τὴν τελείαν ἀκμὴν ἀνὰ λόγον τῆς αὐξήσεως ἐν ἴσῳ χρόνῳ τὴν παρακμὴν ἔλαβεν. Δεῖ δὲ τὰ διαιτήματα σκοπούμενον ἐκ τούτων προσφέρει ν . Προγνωστικὸν εἶναί σε βούλεται τῆς κινήσεως τῶν νοσημάτων, ὅπως ἁρμόττουσαν αὐτοῖς τὴν δίαιταν προσφέρῃ c. δεῖ γὰρ ὡς πρὸς τὴν ἐσομένην αὐτοῖς ἀκμὴν τοῦ νοσήματος ἀποβλέποντας ἡμᾶς τὴν δίαιταν ποιεῖσθαι *** κατά τε τὸ Περὶ διαίτης ὀξέων καὶ τοὺς Ἀφορισμούς, ὅπως 〈δὲ〉 χρὴ προγινώσκειν τοὺς προειρημένους τρόπους τῶν νοσημάτων, ἔκ τε τῶν Εἰς τὸ προγνωστικὸν ὑπομνημάτων καὶ ἐκ τῶν Περὶ κρίσεων μαθήσῃ.

17a 244 διὰ κεφαλαίων δ’ αὐτὰ 〈καὶ〉 κατὰ τοῦτο τὸ βιβλίον ἔγραψα διὰ τῆς πρώτης ἐν τῷδε τῷ ὑπομνήματι γεγραμμένης ῥήσεως. Πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα σημεῖα τούτοις ἐστὶν ἠδελφισμέν α , περὶ ὧν τὰ μέν που γέγραπτα ι , τὰ δὲ 〈καὶ〉 γεγράψετα ι . πρὸς ἃ 〈δεῖ〉 διαλογιζόμενον δοκιμάζειν καὶ σκοπεῖσθα ι , τίνι τούτων ὀξὺ 〈καὶ〉 θανατῶδες ἢ περιεστικὸν 〈καὶ τίνι μακρὸν καὶ θανατῶδες ἢ περιεστικὸν〉 καὶ τίνι προσαρτέον ἢ οὒ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πότε καὶ πόσον καὶ τί τὸ προσφερόμενον ἔστα ι . Καίτοι πολλὰ προειρηκώς, ἀφ’ ὧν χρὴ τὰς προγνώσεις ποιεῖσθαι, ὅμως φησὶν εἶναι καὶ ἄλλ α , τὰ μὲν ἤδη γεγραμμένα, κατὰ τὸ Προγνωστικὸν δηλονότι, τὰ δὲ καὶ γραφησόμεν α. Τὰ δὲ παροξυνόμενα ἐν ἀρτίῃσι κρίνεται ἐν ἀρτίῃσι ν . [16]

17a 245 ὧν δ ’ οἱ παροξυσμοὶ ἐν περισσῇς ι , κρίνεται ἐν περισσῇσι ν . Εἴρηται πολλάκις ἡμῖν ἐν τοῖς παροξυσμοῖς γίνεσθαι τὰς κρίσει c, διά τε τὸ κινεῖσθαι σφοδρῶς ἐν αὐτοῖς τοὺς χυμοὺς καὶ ὥσπερ ζέοντας ἐκρήγνυσθαι δι’ αἱμορραγίας ἢ ἱδρώτων ἢ ἐμέτων ἢ διαχωρημάτων ἢ αἱμορροίδων ἢ καταμηνίων ταῖς γυναιξί, διά τε τὸ κατ’ αὐτὸν 〈δὴ τοῦτον〉 τὸν καιρὸν τὴν φύσιν ἐπείγεσθαι πρὸς τὴν ἔκκρισιν αὐτῶν, ἅμα μὲν ὅτι βαρυνομένη καὶ κακοπαθοῦσα παροξύνεται πρὸς τὴν ἔκκρισιν, ἅμα δὲ ὅτι κεχυμένων μᾶλλον αὐτῶν ἥ τε διάκρισις ἑτοιμοτέρα τῶν μοχθηρῶν ἥ τε κρίσις γίγνεται ῥᾷον. Ἔστι δὲ [ἡ ] πρώτη περίοδος τῶν ἐν τῇσιν ἀρτίῃσι κρινόντων τετάρτ η , ἕκτ η , [ ὀγδό η, ] τεσσαρεσκαιδεκάτ η , εἰκοστ ή , τετάρτη καὶ εἰκοστ ή , τριακοστ ή , τεσσαρακοστ ή , ἑξηκοστ ή , ὀγδοηκοστ ή , εἰκοστὴ καὶ ἑκατοστή · [ ἐ κ ] τῶν δὲ ἐν τῇσι περισσῇσι κρινόντων περίοδος πρώτη τρίτ η , πέμπτ η , ἑβδόμ η , ἐνάτ η , ἑνδεκάτ η , ἑπτακαιδεκάτ η , εἰκοστὴ πρώτ η , εἰκοστὴ ἑβδόμ η , τριακοστὴ πρώτ η . [5]

17a 246 Οὐ κυρίως μοι δοκεῖ κεχρῆσθαι νῦν τῇ προσηγορίᾳ τῆς περιόδο υ. τὰς γὰρ ἡμέρας αὐτάς, ἐν αἷς αἱ κρίσεις γίνονται, πάσας ἐφεξῆς ἔγραψεν. ἐν δὲ τῷ Προγνωστικῷ τὰς κατὰ τετράδας γινομένας περιόδους ἀκριβῶς διῆλθεν, ὥστε ταῦτ’ ἔοικεν ἐπιζητεῖν τὴν θεωρίαν τῶν 〈ἄλλων〉 κρισίμων ἡμερῶν. πρώτην μὲν οὖν φησι κρίσιμον ἡμέραν εἶναι τῶν ἀρτίων τὴν τετάρτην, ἐφεξῆς δ’ αὐτῇ τὴν ἕκτη ν. εἶτ’ ἐν τοῖς πλείστοις μὲν τῶν ἀντιγράφων ἡ ὀγδόη τε καὶ δεκάτη γέγραπται, κατά τινα δὲ ἡ τεσσαρεσκαιδεκάτη μετὰ τὴν ἕκτην, 〈εἶθ’ ἡ〉 εἰκοστ ή. καὶ μετὰ ταύτην ἐν τισὶ μὲν τῶν 〈ἀντιγράφων〉 τετάρτη καὶ εἰκοστ ή, ἐν τισὶ δ’ αὐτῶν γέγραπται [τετάρτη καὶ] τριακοστ ή, καὶ μετὰ ταύτην τεσσαρακοστ ή, μεθ’ ἣν ἡ ἑξηκοστὴ καὶ ἡ ὀγδοηκοστὴ καὶ 〈ἡ εἰκοστὴ καὶ〉 ἑκατοστ ή. τῶν δ’ ἐν ταῖς περιτταῖς κρινο μένων νοσημάτων πρώτην φησὶν εἶναι περίοδον (ἄμεινον δ’ ἦν, ὡς ἔφαμεν, εἰπεῖν οὐ περί〈οδον, ἀλλ’ ἡμέραν,) ἀπ’〉 ἀρχῆς τρίτην, εἶτα πέμπτην 〈εἶπεν〉, εἶθ’ ἑβδόμην, εἶτα ἐνάτην, εἶτα ἑνδεκάτην, εἶτα ἑπτακαιδεκάτην, εἶτα πρώτην καὶ εἰκοστὴν καὶ μετὰ ταύτην ἑβδόμην καὶ εἰκοστή ν, ἐφ’ ᾗ πρώτην καὶ τριακοστή ν. [5]

17a 247 ἐδείχθησαν δὲ ἡμῖν ἐν τῇ Περὶ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ πασῶν τῶν κρινουσῶν ἰσχυρόταται μὲν αἱ κατὰ τὴν τετραδικήν τε καὶ ἑβδομαδικὴν περίοδον γινόμεναι, μετριώτεραι δ’ αὐτῶν αἱ παρεμπίπτουσαι, περὶ ὧν τῆς εὐλόγου γενέσεως ἕνεκεν εἴπομεν. αἱ μὲν οὖν περισσαὶ πᾶσαι καλῶς εἴρηνται· τῶν δ’ ἀρτίων οὐκ ὀρθῶς εἰρήκασί 〈τινες〉 εἶναι καὶ τὴν ὀγδόην καὶ τὴν δεκάτη ν· οὐδαμῶς γάρ εἰσιν αὗται κρίσιμοι. Εἰδέναι δὲ χρὴ ὅτι τὰς ἄλλως κριθῇ ἔξω τῶν προγεγραμμένω ν , ἐσομένας ὑποστροφά c · γένοιτο δ ’ ἂν καὶ ὀλέθρι α . Ὅτι καὶ καλῶς καὶ βεβαίως κρίνουσιν αἱ εἰρημέναι νῦν ἡμέραι, καὶ τὰ κριθέντα δ’ 〈 ἄλλως 〉 νοσήματα 〈μὴ〉 πάντως μέν ἐστι βέβαια, γένοιτο δ ’ ἄν ποτε καὶ ὀλέθρια, δέδεικται δι’ ἐκείνων τῶν ὑπομνημάτων. [15]

17a 248 Δεῖ δὲ προσέχειν τὸν νόον καὶ εἰδέναι ἐν τοῖσι χρόνοισι τούτοισι κρίσιας ἐσομένας ἐπὶ σωτηρίην ἢ ὄλεθρον ἢ ῥοπὰς ἐπὶ τὸ ἄμεινον ἢ χεῖρο ν . Ἐν ταύτῃ τῇ ῥήσει τὸ σημαινόμενον ἐκ τοῦ τῆς κρίσεως ὀνόματος ἐδίδαξεν, ὃ διὰ συντόμων ἂν εἴποι τις ὀξύρροπον εἶναι μεταβολὴν ὅλου νοσήματος. ὅτι δὲ τετραχῶς ἡ μεταβολὴ γίνεται, σαφῶς αὐτὸς εἶπεν· ἐπὶ γὰρ σωτηρίαν ἢ ὄλεθρον ἢ ῥοπὴν ἐπὶ τὸ ἄμεινον ἢ χεῖρον, ἀξιόλογον δηλονότι. παρέλιπε δ’ αὐτὸς εἰπεῖν τὸ ἀξιόλογον, ὡς ἐν τῷ κοινῷ σημαινομένῳ τοῦ τῆς κρίσεως ὀνόματος περιεχόμενον. Πλάνητες δὲ πυρετοὶ καὶ τεταρταῖοι καὶ πεμπταῖοι καὶ ἑβδομαῖοι καὶ ἐναταῖο ι , ἐν ᾗσι περιόδοισι κρίνοντα ι , σκεπτέο ν . [10]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

17a 249 Οὐδὲ περὶ τούτων ἐπιζητεῖ κατὰ τὸ Προγνωστικόν· καὶ γὰρ καὶ οἱ πλάνητες τοὺς κατὰ μέρος παροξυσμοὺς ἀτάκτους ἔχουσιν, ἀλλὰ διά γε τῶν κατὰ τὰς κρισίμους ἡμέρας φαινομένων σημείων ἡ κρίσις αὐτῶν προγινώσκεται. περὶ δὲ τῶν εἰς ἀπυρεξίαν ληγόντων περιόδων, οἷαίπερ αἱ τῶν τριταίων εἰσὶ καὶ τῶν τεταρταίων, ἐδείχθη τοῖς πολλοῖς τῶν ἰατρῶν θεώρημα ἀγνοούμενον, οὗ διὰ παντὸς ἐπειράθημεν ἐπὶ τῶν ἀρρώστων. οὐ γὰρ ταῖς ἀπὸ τῆς ἀρχῆς ἡμέραις προσέχειν χρὴ τὸν νοῦν οὐδὲ ταύτας ἀριθμεῖν ἁπλῶς ἐφεξῆς, ἀλλὰ τοὺς παροξυσμούς, ὥσπερ ἐπὶ τριταίου τοῦ ἀκριβοῦς αὐτὸς εἶπε κατὰ τοὺς Ἀφορισμούς· “τριταῖος ἀκριβὴς ἐν ἑπτὰ περιόδοισι κρίνεται τὸ μακρότατον.

17a 250 ” ὡς γὰρ οὗτος ἐν ἑπτὰ περιόδοις κρίνεται, κατὰ τὸν αὐτὸν λόγον ἄλλος μὲν ἐν ἐννέα περιόδοις, ἄλλος δ’ ἐν ἕνδεκα καὶ οὕτως ἐφεξῆς [ὁ] κατὰ τὸν ἀριθμὸν τῶν κρινουσῶν ἡμερῶν. καὶ περὶ τῶν τεταρταίων ὁ αὐτὸς λόγος. ἐν γοῦν τῷ Προγνωστικῷ φησι· “γίνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τούτου τοῦ κόσμου.” ἐμοῦ δὲ κατὰ ταύτην τὴν θεωρίαν προειπόντος ἐπ’ Εὐδήμου τοῦ φιλοσόφου τρεῖς τεταρταίους ἔχοντος ἕνα μὲν ἐξ αὐτῶν πρῶτον παύσεσθαι 〈πυρε〉 τὸν ἐν ταῖσδε ταῖς ἡμέραις παροξυνόμενον καὶ μετὰ τοσάσδε περιόδου ς· ἐπεὶ δ’ οὗτος ἐπαύσατο, δεύτερον ἄλλον ἐν τῇδε τῇ ἡμέρᾳ, κἄπειτα καὶ τὸν τρίτον ὁμοίως προειπόντος, ἐκ μαντικῆς ἔφασαν λέγεσθαι ταῦτα καὶ οὐκ ἐξ ἰατρικῆς θεωρίας, καίτοι τοὺς μάντεις οὐδέποτ’ ἀληθῶς ὁρῶντες ἐπ’ ἀρρώστου προειπόντας ἐν Ῥώμ ῃ· (τῶν γὰρ ἐν ταῖς ἄλλαις πόλεσιν οὐ πεπείραμαι.) σὺν θεῷ δ’ εἰπεῖν, ἡμεῖς οὐδέποτε ἀπετύχομεν ἐν οὐδεμιᾷ προρρήσει. καὶ σὺ τοίνυν, ἐὰν ἀσκήσῃς σαυτὸν ἐν τοῖς εἰρημένοις περὶ κρίσεως, Ἱπποκράτους τε καὶ τῆς τέχνης ἄξιος ἔσῃ. ταῦτα μὲν εἰρήσθω μοι κατὰ τὸ πάρεργον, ἐπὶ δὲ τὴν προκει μένην ἐξήγησιν αὖθις ἴωμεν.

17a 251 ὥσπερ γὰρ ἅπαντα τὸν περὶ τῶν κρισίμων ἡμερῶν λόγον ἀκριβῶς διωρίσατο κατὰ τὸ Προγνωστικόν, οὕτω καὶ τὸν 〈περὶ〉 τῶν περιόδω ν. 〈ἀλλ’ ὅμως〉 οὐδαμόθι γοῦν ἐμνημόνευσε πεμπταίας ἢ ἑβδομαίας ἢ ἐναταία ς, οὐ μόνον κατὰ τὸ Προγνωστικόν τι εἰπών, ἀλλ’ οὐδὲ κατὰ τοὺς Ἀφορισμούς, καίτοι κατὰ μὲν τὸ Προγνωστικὸν εἰπών· “γίνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τούτου τοῦ κόσμου”, κατὰ δὲ τοὺς Ἀφορισμούς· “τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι ν.” δυνατὸν 〈οὖν〉 ἦν αὐτῷ καὶ περὶ πεμπταίου καὶ ἑβδομαίου καὶ ἐναταίου τὴν αὐτὴν ἀπόφασιν ποιήσασθαι, τὴν λέξιν ὡδί πως γράψαντι· “γίγνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις κατὰ τὸν αὐτὸν τρόπον καὶ πεμπταίων καὶ ἑβδομαίων καὶ ἐναταίων ἐκ ταὐτοῦ κόσμου.” ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΩΙ ΠΡΩΤΩΙ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΓΕΓΡΑΜΜΕΝΩΝ ΑΡΡΩΣΤΩΝ Πρὸ τῆς τῶν κατὰ μέρος ἀρρώστων ἐξηγήσεως ἄμεινον εἶναί μοι δοκεῖ σαφηνείας τε καὶ συντομίας ἕνεκα κοινόν τινα περὶ πάντων αὐτῶν λόγον εἰπεῖν. ἐδείχθη μοι καὶ κατ’ ἄλλας μὲν πραγματείας, ἀλλὰ κἀν τῇ Τῆς θεραπευτικῆς μεθόδου 〈σαφ〉ῶς διττὴ ἡ τῶν ζητουμένων εὕρεσις οὖσα, μία μὲν ἡ διὰ τοῦ λόγου πρὸς τὴν γνῶσιν ἀφικνουμένη τοῦ καθόλου τε καὶ κοινοῦ παντὸς τῶν κατὰ μέρος εἴδους, ἄλλη δ’ ἡ διὰ 〈τῆς πείρας ἀπὸ〉 τῶν κατὰ μέρος ἐπὶ τὸ κοινόν τε καὶ καθόλου παραγιγνομένη.

17a 252 καὶ τὰ μὲν συμπληροῦντα 〈πᾶσαν τέχνην θεωρήματα λέγομεν πάντα〉 εἶναι καθόλου, τὰς δὲ πράξεις τῶν τεχνιτῶν ἐπὶ τῶν ἀτόμων εἰδῶν γίγνεσθαι, δεῖσθαι δὲ τῆς ἐπ’ αὐτῶν γυμνασίας καὶ 〈τὸν τὰ〉 καθόλου πρότερον εὑρόντα καὶ μέντοι καὶ πρὸς βεβαίωσιν αὐτῶν τῶν ηὑρημένων καθόλου χρήσιμα γίγνεσθαι τὰ κατὰ μέρος. ἔστι δὲ καὶ πρὸς τὴν τῶν μανθανόντων γνῶσιν οἷον παραδείγματα ταῦτα τῶν ἐπιτετραμμένων αὐτοῖς καθόλου θεωρημάτων. διὰ τοῦτο κἀγὼ κατὰ τὰς πραγματείας ἁπάσας, ἃς ἐποιησάμην, οὐ τὰ καθόλου μόνον, ἀλλὰ καὶ τὰ κατὰ μέρος διῆλθον, ἐκ τῶν Ἱπποκράτους βιβλίων καὶ μάλιστα τῶν Ἐπιδημιῶν παραγράψας 〈ἐκείνας τὰς〉 ῥήσεις, ἐν αἷς διηγήσατο ἅπαντα ἀπ’ ἀρχῆς μέχρι τέλους τὰ συμβάντα τοῖς ἀρρώστοις. ἐν μὲν 〈οὖν τοῖς Περὶ〉 δυσπνοίας ἅπαντας τοὺς δυσπνοήσαντας 〈τοὺς〉 ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταῖς τῶν Ἐπιδημιῶν συγγραφαῖς διῆλθον, ἐν δὲ τοῖς 〈Περὶ〉 τῶν κρισίμων ἡμερῶν τοὺς κριθέντας ἐπί τε τῶν ἄλλων ὡσαύτως. [15]

17a 253 ὅθεν οὐδ’ ἐξηγήσεως ἦν περιττοτέρας χρεία τοῖς βουλομένοις ἐπὶ τὰ τῆς τέχνης ἔργα σπεύδειν. ἀλλ’ ἐπειδὴ παρέγκεινταί τινες ἀσαφεῖς λέξεις, δι’ ἐκείνας ἔδοξεν ἄμεινον εἶναι καὶ τὰ τοιαῦτα ὑπομνήματα ποιήσασθαι [δῆλα]. εἰ μὲν οὖν ἁπάντων τῶν συμπτωμάτων, ὅσα γεγονέναι φησὶν 〈ἐν〉 ἑκάστῳ τῶν νοσημάτων, ἤτοι τὴν ὅλην φύσιν ἢ τὰς αἰτίας τῆς γενέσεως εἴποιμι, τὰς γενομένας μοι πραγματείας ἐνταῦθα μεταφέρειν ἀναγκασθήσομαι πάσας κινδυνεύσω τε καθ’ ἕκαστον ἄρρωστον ἓν γράψαι βιβλίον· εἰ δὲ τῶν ἐν τῷ Προγνωστικῷ γεγραμμένων ἐν τῷ καθόλου τὰ παραδείγματα μόνα νῦν ἐπισημαινοίμην, ἀναπέμπων 〈τὸν μανθάνοντα κατὰ〉 τὸ σύμπαν τῆς διδασκαλίας εἰς τὰς γεγραμμένας μοι πραγματείας, ἐλπίζω σύντομον ἔσεσθαι τὸν λόγον. Φιλίσκος ᾤκει παρὰ τὸ τεῖχος καὶ κατεκλίν η . ἐν τῇ πρώτῃ πυρετὸς ὀξύ c , ἵδρωσε ν , ἐς νύκτα ἐπιπόνω c . δευτέρῃ πάντα παρωξύνθ η , ὀψὲ δ ’ ἀπὸ κλυσματίου [ ο ὐ ] καλῶς διῆλθ ε , νύκτα δ ι ’ ἡσυχίη c . τρίτῃ πρωῒ καὶ μέχρι μέσου ἡμέρης ἔδοξε γενέσθαι ἀπύρετο c , πρὸς δείλην δὲ πυρετὸς ὀξὺς με θ ’ ἱδρῶτο c , διψώδη c , γλῶσσα ἐπεξηραίνετ ο , μέλανα οὔρης ε , νύκτα δύσφορο c , οὐκ ἐκοιμήθ η , πάντα παρέκρους ε . [15]

17a 254 τετάρτῃ πάντα παρωξύνθ η , οὖρα μέλαν α , νύκτα εὐφορωτέρη ν , οὖρα εὐχροώτερ α . πέμπτῃ περὶ μέσον ἡμέρης μικρὸν ἀπὸ ῥινῶν ἔσταξεν ἄκρητον · οὖρα δὲ ποικίλ α , ἔχοντα ἐναιωρήματα στρογγύλ α , γονοειδέ α , διεσπασμέν α , οὐχ ἱδρύετο · προσθεμένῳ 〈δὲ〉 βάλανον φυσώδεα σμικρὰ διῆλθ ε . νύκτα ἐπιπόνω c , ὕπνοι σμικρο ί , λόγο ι , λῆρο c , ἄκρεα πάντοθεν ψυχρὰ καὶ οὐκέ τ ’ ἀναθερμαινόμεν α , οὔρησε δὲ μέλαν α , ἐκοιμήθη σμικρὰ πρὸς ἡμέρη ν , ἄφωνο c , ἵδρωσε ψυχρ ῷ , ἄκρεα πελιδνὰ περὶ μέσον ἡμέρη c , ἑκταῖος ἀπέθανε ν . τούτῳ [ τ ὸ ] πνεῦμα διὰ τέλεος ὥσπερ ἀνακαλουμέν ῳ , ἀραιὸν μέγ α . σπλὴν ἐπήρθη περιφερεῖ κυρτώματ ι , ἱδρῶτες ψυχροὶ διὰ τέλεο c · οἱ παροξυσμοὶ ἐν ἀρτίῃσι ν . Ἐπὶ τούτου τοῦ ἀρρώστου κατὰ τὴν τρίτην ἡμέραν ὁ μέλλων ἔσεσθαι θάνατος ἦν φανερὸς ἤδη τῷ μεμνημένῳ τῶν καθόλου θεωρημάτων 〈τῶν ἐν τοῖς Περὶ κρίσεων γεγραμμένων. [16]

17a 255 〉 ἐν γὰρ τῇ πρώτῃ τῶν ἡμερῶν ὀξέος πυρετοῦ γενομένου καὶ μετὰ τοῦτο ἱδρῶτος ἐπιφανέντος, 〈ὃς〉 οὐκ ἔλυσε τὸν πυρετόν, ἀλλὰ καὶ τὴν νύκτα χαλεπὴν ἤνεγκεν, ἡ δευτέρα πάλιν ἅπαντα παρώξυνεν, εἶθ’ ἡ τρίτη μελάνων οὔρων ἔσχεν ἔκκρισιν. ἦν μὲν οὖν καὶ τὸ κατὰ τὴν πρώτην ἡμέραν γενόμενον εὐθέως μοχθηρόν. “τὰ γὰρ κρίσιμα μὴ κρίνοντα τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα”, θανατώδη μέν, ἐάν τι τῶν ἐπ’ αὐτοῖς θανατωδῶν γένηται συμπτωμάτων ἢ σημείων, δύσκριτα δέ, ἐὰν ἄνευ τούτων διαμένῃ τὰ σημεῖα τῆς τῶν χυμῶν ἀπεψίας. ἀλλ’ ἐπί γε τοῦ Φιλίσκου θανατῶδες ἐγένετο σημεῖον ἐπὶ τῷ μὴ λύσαντι τὸν πυρετὸν ἱδρῶτι κατὰ τὴν τρίτην ἡμέραν τὰ μέλανα τῶν οὔρων μετὰ τοῦ καὶ διψώδη γενέσθαι καὶ τὴν γλῶσσαν ἐπιξηρανθῆναι καὶ δυσφορῆσαι δ ι ’ ὅλης νυκτὸς ἀγρυπνῆσαί τε καὶ παρακροῦσα ι. καὶ τούτων οὕτως γενομένων ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν πάντα τε παροξυν θῆναί φησι καὶ οὖρα πάλιν γενέσθαι μέλαν α. [15]

17a 256 μέμνησο τοιγαροῦν, ὅτι τῆς τετάρτης ὁμοίως τῇ τρίτῃ χαλεπὰ συμπτώματα καὶ σημεῖα σχούσης ἐν ὀξεῖ νοσήματι τὴν κρίσιν ἐχρῆν ἐσομένην προσδοκᾶν διὰ ταχέων, εἰ μὲν ἐν 〈ταῖς〉 ἀρτίαις παροξύναιτο, μᾶλλον ἐν ταῖς ἀρτίαις, εἰ δ’ ἐν ταῖς περισσαῖς, ἐν ἐκείναις. ἔνθα δ’ ἡ κρίσις, ἐνταῦθα δηλονότι καὶ ὁ θάνατος, ἐπί γε τῶν ὀλεθρίων νοσημάτων. καὶ τοίνυν ἀπέθανεν ἑκταῖος ὁ Φιλίσκο c, διότι καὶ οἱ παροξυσμοὶ κατὰ τὰς ἀρτίας ἦσαν αὐτῷ. τοῦτο γὰρ αὐτὸς ὁ Ἱπποκράτης ἐνεδείξατο κατὰ τὸ τέλος τῆς ὅλης διηγήσεως γράψας ὡδί· τούτῳ τὸ πνεῦμα διὰ τέλεος ὥσπερ ἀνακαλουμένῳ ἀραιὸν μέγα · σπλὴν ἐπήρθη περιφερεῖ κυρτώματ ι , ἱδρῶτες ψυχροὶ διὰ τέλεο c , οἱ παροξυσμοὶ ἐν ἀρτίῃσι ν. ἄλλος δ’ ἄν τις ἄρρωστος ἴσως ἐπὶ τοῖς αὐτοῖς συμπτώμασί τε καὶ σημείοις οὐ κατὰ τὴν ἕκτην, ἀλλὰ κατὰ τὴν ὀγδόην ἡμέραν ἀπέθανε, τῆς τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυνάμεως ἰσχυροτέρας οὔσης ἢ ὡς ἔτυχεν ὁ Φιλίσκος ἔχειν τῶν τε συμπτωμάτων καὶ τῶν σημείων ἧττον ὀλεθρίων ὄντων.

17a 257 ἐπὶ γὰρ τούτῳ κατά τε τὴν τρίτην ἡμέραν καὶ τὴν τετάρτην οὖρα μέλανα γενόμενα σαφῶς ἐδήλωσε τὸ μέγεθος τῆς κακοηθείας τοῦ νοσήματος ἱδρῶτές τε 〈διὰ τέλεος〉 ψυχροὶ γενόμενοι. καὶ ἡ τοῦ αἵματος δὲ στάξις ἐν τῇ πέμπτῃ τῶν ἡμερῶν ἐπεκύρωσεν τὸν προσδοκώμενον ὄλεθρον σύντομον, ἔτι δὲ μᾶλλον ὅτι προσέγραψε τῇ στάξει τὸ ἄκρητον, ὧδέ πως εἰπών· τῇ πέμπτῃ περὶ μέσον ἡμέρας μικρὸν ἔσταξεν ἀπὸ ῥινῶν ἄκρητο ν. ὅταν μὲν οὖν ἤτοι διαχώρησιν ἢ ἔμετον ἄκρητον εἴπῃ, τὸ ἄμικτον λέγει, διαχωρουμένης ἢ ἐμουμένης ἤ 〈τοι〉 τῆς ξανθῆς ἀμίκτου χολῆς ἢ τῆς μελαίνης ἢ τῆς ἰώδους· περὶ δὲ τῆς στάξεως ἐὰν ἀκούσωμεν ἄμικτον αἷμα τὸ ἐρυθρόν, (αὕτη γὰρ ἴδιος αὐτοῦ χροιά,) ψεῦδός τι νοήσομεν. οὐδέποτε γὰρ ἐρυθροῦ στάξις ἀπὸ ῥινῶν 〈ἐν〉 ὀλεθρίῳ νοσήματι πέφηνεν, ἀλλ' ἀεὶ μέλανος· εἰκὸς οὖν ἐστὶν αὐτὸ δὴ τοῦτο τὸ μέλαν ἄκρητον εἰπεῖν 〈τὸν Ἱπποκράτην, ἐπισημῆναι〉 βουληθέντα 〈καὶ〉 αὐτὸν τὸ πάνυ τοιοῦτον. ἐν μὲν δὴ τῇ τρίτῃ τῶν ἡμερῶν ἐφαίνετο σαφῶς ἤδη τὸ τοῦ νοσήματος ὀλέθριον, οὐ μὴν ὁπότε γε τεθνήξεται δῆλον ἦν. ἐν δὲ τῇ τετάρτῃ τῶν ἡμερῶν τῶν μελάνων οὔρων διαμεινάντων καὶ τῶν παροξυσμῶν ἐν ταῖς ἀρτίαις γενομένων, εἰ μὲν τῇ ἡλικίᾳ καὶ τῇ ῥώμῃ τῶν δυνάμεων ἀντεῖχεν, εἰκὸς ἦν ἄχρι τῆς ὀγδόης ἐξαρκέσαι τὸν ἄρρωστον· εἰ δὲ μή, κατὰ τὴν ἕκτην τεθνήξεσθαι.

17a 258 τῆς πέμπτης δ' ἐπὶ τοῖς εἰρημένοις αἵματός τε στάξιν ἀκράτου σχούσης καὶ δηλονότι τοὺς ψυχροὺς ἱδρῶτα ς, οὓς διὰ παντὸς τοῦ νοσήματος ἔφη γενέσθαι, προσεδόκησεν ἄν τις εὐλόγως μὴ δυνηθήσεσθαι τὸν κατὰ τὴν ἕκτην ἡμέραν ἐσόμενον παροξυσμὸν ὑπομεῖναι τὸν κάμνοντα. ταῦτα δ' οὖν ἀκόλουθα φαίνεται τοῖς καθόλου περὶ κρισίμων ἡμερῶν καὶ οὔρων καὶ ἱδρώτων εἰρημένοις ἐπί τε τῶν κρισίμων συμπτωμάτων καὶ πρὸς αὐτοῖς καὶ τῶν περὶ δυσπνοίας τε καὶ παραφροσύνης. εἰρηκὼς γὰρ ἐν τῷ Προγνωστικῷ· "πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖς ὑπὲρ τῶν φρενῶν χωρίοις, μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην", εἶτα νῦν ὅτι μὲν παρεφρόνησεν ὁ Φιλίσκος εἰρηκώς, οὐδὲν δ' ἐν ὅλῃ τῇ διηγήσει περὶ δυσπνοίας γεγραφώς, εἰκότως ἐπὶ τῇ τελευτῇ τοῦ λόγου προσέθηκεν· τούτῳ τὸ πνεῦμα διὰ τέλεος ὥσπερ ἀνακαλουμέν ῳ , ἀραιὸν μέγ α.

17a 259 πρόδηλον δ' ὅτι ταὐτόν ἐστιν ἀραιόν τε φάναι καὶ διὰ πολλοῦ χρόνου. τὸ δ' ὥσπερ ἀνακαλουμένῳ οἷον ἀναμιμνησκομένῳ σημαίνει. δέδεικται γὰρ ἐν τοῖς Περὶ δυσπνοίας ἀραιὸν καὶ μέγα γίνεσθαι τὸ πνεῦμα διὰ τὴν βλάβην τῆς διανοίας, ὥσπερ ἐπιλανθανομένου τῶν ἐνεργειῶν τοῦ κάμνοντος, ὡς μήθ' ὁπότε καταπαῦσαι προσῆκον αὐτὰς ἐπίστασθαι μήθ' ὁπότε ἄρξασθαι. Σιληνὸς ᾤκει ἐπὶ τοῦ πλαταμῶνος πλησίον τῶν Εὐαλκίδε ω , ἐκ κόπων καὶ πότων καὶ γυμνασίων ἀκαίρων πῦρ ἔλαβε ν . ἤρξατο δὲ πονέειν καὶ ὀσφύ ν , καὶ κεφαλῆς βάρος καὶ τραχήλου ξύντασι ς . ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ χολώδε α , ἄκρητ α , ἔπαφρ α , κατακορέα πολλὰ διῆλθεν · οὖρα μέλαν α , μέλαιναν ὑπόστασιν ἔχοντ α , διψώδη ς , γλῶσσα ἐπίξηρο ς , νυκτὸς οὐδὲν ἐκοιμήθ η . δευτέρῃ πυρετὸς ὀξύ ς , διαχωρήματα πλεί ω , λεπτότερ α , ἔπαφρ α , οὖρα μέλαν α , νύκτα δυσφόρω ς , μικρὰ παρέκρους ε .

17a 260 τρίτῃ πάντα παρωξύνθη · ὑποχονδρίου ξύντασις ἐξ ἀμφοτέρων παραμήκης πρὸς ὀμφαλό ν , ὑπολάπαρο ς · διαχωρήματα λεπτ ά , ὑπομέλαν α , οὖρα θολερ ά , μέλαν α , νυκτὸς οὐδὲν ἐκοιμήθ η , λόγοι πολλο ί , γέλω ς , ᾠδ ή , κατέχειν οὐκ ἠδύνατ ο . τετάρτῃ διὰ τῶν αὐτῶ ν . πέμπτῃ διαχωρήματα ἄκρητ α , χολώδε α , λεῖ α , λίαν λιπαρ ά , οὖρα λεπτ ά , διαφανέα · μικρὰ κατενόε ι . ἕκτῃ περὶ κεφαλὴν μικρὰ ἐφίδρωσε ν , ἄκρεα ψυχρ ά , πελιδν ά , πολὺς βληστρισμό ς , ἀπὸ κοιλίης οὐδὲν διῆλθε ν , οὖρα ἐπέστ η , πυρετὸς ὀξύ ς . ἑβδόμῃ ἄφωνο ς , ἄκρεα οὐκέτι ἀνεθερμαίνετ ο , οὔρησεν οὐδέ ν . ὀγδόῃ ἵδρωσε δ ι ' ὅλου ψυχρῷ · ἐξανθήματα με θ ' ἱδρῶτος ἐρυθρ ά , στρογγύλ α , σμικρὰ οἷον ἴονθο ι , παρέμενε ν , οὐ καθίστατ ο . ἀπὸ δὲ κοιλίης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρεθισμῷ σμικρῷ κόπρανα λεπτ ά , ⟨οἷα⟩ ἄπεπτ α , πολλὰ διῄει μετὰ πόνου · οὖρει με τ ’ ὀδύνης δακνώδεα · ἄκρεα σμικρὰ ἀνεθερμαίνετ ο , ὕπνοι λεπτο ί , κωματώδη c , ἄφωνο c , οὖρα λεπτὰ διαφανέ α .

17a 261 ἐνάτῃ διὰ τῶν αὐτῶ ν . δεκάτῃ ποτὰ ⟨οὐκ⟩ ἐδέχετ ο , κωματώδη c , ὕπνοι λεπτοί · ἀπὸ δὲ κοιλίης ὅμοι α , οὔρησεν ἀθρόον ὑπόπαχυ · κειμένῳ ὑπόστασις κριμνώδης λευκ ή , ἄκρεα πάλιν ψυχρ ά . ἑνδεκάτῃ ἀπέθανε ν . ἐξ ἀρχῆς τούτῳ ⟨καὶ⟩ διὰ τέλεος πνεῦμα ἀραιὸν ⟨μέγα ⟩ . ὑποχονδρίου παλμὸς συνεχή c , ἡλικίη ὡς περὶ ἔτεα εἴκοσι ν . Ἐπὶ τούτου προσέθηκε τὴν ἡλικίαν, μὴ προσθεὶς ἐπὶ τοῦ πρώτου. ἐκεῖνος μὲν γὰρ εὐλόγως ἑκταῖος ἀπέθανεν, ἐν ὀξεῖ νοσήματι κατὰ τὸ συνεχὲς ὀλέθρια σχὼν ἀπὸ τῆς ἀρχῆς τά τε σημεῖα καὶ τὰ συμπτώματα. οὗτος δὲ παραπλησίως ἐκείνῳ διακείμενος ἀπ’ ἀρχῆς, ὅμως εἰς τὴν ἑνδεκάτην ἡμέραν προῆλθε διὰ ῥώμην δυνάμεως, ἣν εἰκὸς μὲν ἦν καὶ ἄλλως ὑπάρχειν αὐτῷ, καὶ διὰ τοῦ προσθεῖναι δὲ τὴν ἡλικίαν ἐνεδείξατο, μὴ προσθεὶς ἐπὶ τοῦ Φιλίσκου ⟨καὶ⟩ ἐξ αὐτοῦ τοῦ μὴ προσθεῖναι δηλώσας, ὅτι πλειόνων ἐτῶν ἦν, ⟨ἢ⟩ ὥστε τὴν μὲν δύναμιν ἰσχυρὰν εἶναι.

17a 262 ἕτερος δ’ ἂν ἄρρωστος ἐπὶ τοῖς αὐτοῖς ἀπ’ ἀρχῆς σημείοις τε καὶ συμπτώμασιν, εἰ μὴ ἰσχυρὸς ἦν τὴν δύναμιν, ἑβδομαῖος ἀπέθανεν. καὶ οὗτος δὴ πλησίον ἧκε τοῦ θανάτου κατ’ ἐκείνην τὴν ἡμέραν, καὶ ⟨γὰρ ὁ Ἱπποκράτης ⟩ ἔγραψεν ἐπ’ αὐτοῦ· ἑβδόμῃ ἄφωνο c , ἄκρεα οὐκέ τ ’ ἀνεθερμαίνετ ο , οὔρησεν οὐδέ ν. εὔδηλον οὖν ἐκ τούτων, ὅτι πλησίον ἀφίκετο θανάτου. τῆς δυνάμεως δ’ ἰσχυρᾶς οὔσης ἴσχυσεν ἐξαρκέσαι πρὸς τὴν ἐφεξῆς ἡμέραν κρίσιμον οὖσαν ἑνδεκάτην, καίτοι κατὰ τὴν τρίτην ἢ τετάρτην ἡμέραν ἐν κακίστοις αὐτὸν γενόμενον σημείοις τε καὶ συμπτώμασιν ἐπὶ τῆς ἑβδόμης ἐχρῆν ἀποθανεῖν, ὄντων γε τῶν παροξυσμῶν ἐν ταῖς περισσαῖς μᾶλλον, ὅπερ ἐδήλωσεν εἰπών· τρίτῃ παρωξύνθη πάντ α, καὶ μετὰ ταῦτα πάλιν τετάρτῃ διὰ τῶν αὐτῶ ν. δυνηθεὶς οὖν ὑπερβῆναι, ὡς ἔφην, τὴν ⟨ ἑβδόμην ⟩ ἡμέραν διὰ ῥώμην δυνάμεως, ἐπὶ τῆς ὀγδόης ἡμέρας ἐξανθήματα με θ ’ ἱδρῶτος ἔσχεν ἐρυθρ ά , στρογγύλ α , σμικρ ά, τῆς φύσεως αὐτοῦ διαμαχομένης ἔτι τῷ νοσήματι καὶ πρὸς τὸ δέρμα τὴν περιουσίαν τῶν μοχθηρῶν χυμῶν ὠθούσης, καὶ διὰ τοῦτό γε οὐκ ἐπὶ τῆς ἐνάτης ἡμέρας ἀπέθανεν, ἀλλ’ ἐπὶ τῆς ἑνδεκάτη c.

17a 263 ὡς εἴ γε κατὰ τὴν ὀγδόην μηδὲν ἐγεγόνει τοιοῦτον, ἀκόλουθον ἦν ἀποθανεῖν αὐτὸν ἐπὶ τῆς ἐνάτης, γεγονυίας γε τῆς ἑβδόμης οἵαν εἶπεν. ἐπεὶ δὲ καὶ παρεφρόνησεν οὗτος ὁ ἄρρωστος ἐν τῇ νόσῳ, διὰ τοῦτο προσέθηκεν ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως, πνεῦμα σχεῖν αὐτὸν ἀραιὸν καὶ μέγα δ ι ’ ὅλου τοῦ νοσήματο c. ἀλλὰ καὶ ὑποχονδρίου παλμὸν συνεχῆ γεγονέναι φησὶν αὐτῷ. θόρυβον δὲ καὶ τοῦτο ἢ παραφροσύνην ἐλέγετο δηλοῦν ἐν ⟨τῷ⟩ Προγνωστικῷ. ἔοικεν ⟨οὖν⟩ ἐν τῷ διαφράγματι φλεγμονὴ γεγονέναι τις τῷ ἀνθρώπῳ, δι’ ἣν κατὰ τὴν ⟨τῆς⟩ τρίτης ἡμέρας διήγησιν ἔγραψεν· ὑποχονδρίου ξύντασις ἐξ ἀμφοτέρων παραμήκης πρὸς ὀμφαλό ν , ὑπολάπαρο c. τὸ γὰρ ὑπολάπαρος ὑπόκενός ἐστι, τουτέστιν ὄγκου χωρίς, ὃς γίνεται τῶν καθ’ ὑποχόνδρια μορίων φλεγμαινόντων. ὅταν μέντοι τῇ φλεγμονῇ τοῦ διαφράγματος κατὰ τὸ συνεχὲς ἀνέλκηται τὸ ὑποχόνδριο ν , συντείνεται χωρὶς ὄγκου.

17a 264 καὶ κα τ ’ ἀρχήν γε τῆς ὅλης διηγήσεως ἔφη πονεῖν αὐτὸν ὀσφὺν καὶ κεφαλῆς ἔχειν βάρος καὶ τραχήλου σύντασι ν, ἅπερ καὶ αὐτὰ πρὸς τὸ χεῖρον ⟨ῥέπ⟩ οντος τοῦ νοσήματος παρακρουστικὰ σημεῖα γίνεται. καὶ εἴ γε με τ ’ ἀγρυπνίας ἄνευ βάρους ἐγεγόνει ταῦτα, φρενιτικὸς ἂν ἀπετελέσθη. νυνὶ δὲ τὸ βάρος τῆς κεφαλῆς πλῆθος ἐνδεικνύμενον ἐν αὐτῇ περιέχεσθαι χυμῶν, οὐ πάνυ τι θερμῶν ἢ χολωδῶν, (ἢ πάντως ἄγρυπνος ἂν ἦν,) ἐδήλωσε κωματώδη γενέσθαι τὸν κάμνοντα. λεχθήσεται δ’ ἐπὶ πλέον περὶ τῶν τοιούτων διαθέσεων, ἐν αἷς ἅμα κωματώδεις εἰσὶ καὶ παραφρονοῦσι ν, ὅταν ἐξηγησώμεθα τὴν πρώτην ῥῆσιν τοῦ Προρρητικοῦ. προσθεῖναι δὲ [χρὴ] τῷ παρόντι λόγῳ καὶ τοῦτ’ ἴσως ἐστὶ βέλτιον, ὅπερ εἴρηται καὶ δι’ ἄλλων ἡμῖν πολλάκις, ὅτι τῶν ἐπὶ προφανέσιν αἰτίαις ἀρξαμένων πυρέττειν, εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μηδεμίαν γοῦν κατὰ τὸ σῶμα περιέχοιντο παρασκευὴν νοσήματος, ἐφήμερος ὁ πυρετὸς γίνεται. καὶ τοίνυν τῷ Σιληνῷ πάντως ἂν ἐγεγόνει τοιοῦτος ἐκ κόπων καὶ πότων καὶ γυμνασίων ἀκαίρων πυρέξαντι μὴ προυπαρχούσης ἐν τῷ σώματι τῆς νοσώδους παρασκευῆς, ἣν διαγνώσῃ τοῖς γενομένοις εὐθέως ἐπὶ τῆς πρώτης καὶ δευτέρας ἡμέρας συμπτώμασί τε καὶ σημεί οις.

17a 265 πρῶτον μὲν οὖν, ἔφη, πῦρ ἔλαβεν, οὕτως δ' ὀνομάζειν εἴωθε τὸν πυρετόν, ὅταν ᾖ σφοδρότατος. εἶτ' ἐφεξῆς· ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ [μὲν] χολώδε α , ἄκρητ α , ἔπαφρ α , κατακορέα πολλὰ διῆλθε ν. εἶτα τούτοις ἐφεξῆς· οὖρα μέλαν α , μέλαιναν ὑπόστασιν ἔχοντ α. καὶ πάλιν ἐφεξῆς· διψώδη c , γλῶσσα ἐπίξηρο c , νυκτὸς οὐδὲν ἐκοιμήθ η. πλῆθος 〈οὖν〉 οὐ σμικρὸν ὀλεθρίων συμπτωμάτων τε καὶ σημείων ἐγένετο τῷ Σιληνῷ κατὰ τὴν πρώτην εὐθὺς ἡμέραν, ὡς νοῆσαί τινα δύνασθαι σαφῶς, τοὺς κόπους καὶ πότους καὶ γυμνάσια προφάσεις γεγονέναι τοῦ νοσήματος. κυριώτατα γὰρ ἄν τις φαίη προφάσεις τὰ φανερὰ τῶν αἰτίων. ὅταν δέ τινα καὶ ἄλλα μέλλοντα νοσεῖν ἄνθρωπον ἐξελέγξῃ προσγενόμενα, χρόνῳ μέντοι πλείονι προηγησάμενα, κυρίως ἂν 〈αἴ〉 τια λέγοιτο τηνικαῦτα. δυνατὸν 〈δὲ διαμ〉 εῖναι καὶ τὸν Σιληνὸν τοῦτον ἐν χρόνῳ πολλῷ διαιτηθέντα τὸν τρόπον τὸν εἰρημένον, ἐξ αὐτοῦ 〈δ'〉 αὐτῷ 〈παρ〉 εσκευάσθαι τὸ νόσημα. ἐὰν μὲν γὰρ πονῇ τις πολλὰ ταλαιπωρούμενος ἐν ταῖς ἐνεργείαις ἄχρι κόπο υ , πίνῃ δὲ δαψιλῶς [καὶ] ἀκαί ρως τε γυμνάζηται, τοῦτο δ' ἐστὶν ἤτοι γ' ἐπὶ σιτίοις ἢ βραδυπεψίας γενομένης, πρὶν καλῶς εἰς αἷμα μεταβληθῆναι τὴν τροφήν, οὗτος ἐν αὐτῷ τὸ μέν τοι χολῶδες ἀθροίσει διὰ τὰς ταλαιπωρίας, τὸ δ' ὠμὸν καὶ ἄπεπτον διά τε τοὺς πότους καὶ τὰ ἄκαιρα γυμνάσι α.

17a 266 χαλεπώταται δ' εἰσὶν αὗται μάλιστα τῶν νόσων, ἐν αἷς ἀμφοτέρων ἀξιόλογον ἀθροίζεται πλῆθος. Ἡροφῶντι πυρετὸς ὀξύ c , ἀπὸ κοιλίης ὀλίγ α , τεινεσμώδεα κα τ ' ἀρχά c , μετὰ δὲ ταῦτα λεπτὰ διῄε ι , χολώδε α , ὑπόσυχνα · ὕπνοι οὐκ 〈ἐν〉 ῆσα ν , οὖρα μέλανα λεπτ ά . 〈πέμπτῃ〉 πρωὶ κώφωσι c , παρωξύνθη πάντ α , σπλὴν ἐπήρθ η , ὑποχονδρίου ξύντασι c , ἀπὸ κοιλίης 〈ὀλίγα〉 μέλανα διῆλθε ν , παρεφρόνησε ν . ἕκτῃ ἐλήρε ι , ἐς νύκτα ἱδρώ c , ψῦξι c , παράληρος παρέμενε ν . ἑβδόμῃ περιέψυκτ ο , διψώδη c , παρέκρουσε ν . [ ἐ c ] νύκτα κατενόε ι , κατεκοιμήθ η . ὀγδόῃ ἐπύρεξ ε , σπλὴν ἐμειοῦτ ο , κατενόει πάντ α , ἤλγησε τὸ πρῶτον κατὰ βουβῶν α , σπληνὸς κα τ ' ἴξι ν , ἔπειτα οἱ πόνοι ἐς ἀμφοτέρας κνήμα c .

17a 267 [ ἐ c ] νύκτα εὐφόρω c , οὖρα εὐχροώτερ α , ὑπόστασιν εἶχε μικρή ν . ἐνάτῃ ἵδρως ε , ἐκρίθ η , διέλιπ ε . πέμπτῃ ὑπέστρεψε ν . αὐτίκα 〈δὲ〉 σπλὴν ἐπήρθ η , πυρετὸς ὀξύ c , κώφωσις πάλιν · μετὰ δὲ τὴν ὑποστροφὴν 〈τρίτῃ〉 σπλὴν ἐμειοῦτ ο , κώφωσις ἧσσο ν , σκέλεα ἐπώδυν α , νύκτα ἵδρωσε ν . ἐκρίθη περὶ τὴν ἑπτακαιδεκάτην οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφ ῇ . Οὗτος ἐκ παραδόξου διεσώθη. κατὰ γὰρ τὰς πρώτας ἡμέρας εἰκότως ἄν τις αὐτὸν ὑπενόησε τεθνήξεσθαι. καὶ γὰρ οὔρησε μέλανα καὶ διαχωρουμένων χολωδῶν συμπαυσαμένων ἠκολούθησε κώφωσι c, ὡς ἂν εἰς τὴν κεφαλὴν ἀνελθόντων αὐτῶν. ἀλλ' ἐπὶ τούτοις μὲν εἰκότως παρεφρόνησε ν, ἐπὶ δὲ τοῖς μέλασιν οὔροι c, κακοῖς οὖσιν, οὐδὲν ἀντίρροπον ἀγαθὸν ἐγένετο, πλὴν ὅτι σπλὴν ἐπήρθη πεμπταί ῳ, δεξάμενός τι τῆς κακοχυμίας.

17a 268 εἶτα κατὰ τὴν ὀγδόην ἡμέραν ἐκ τοῦ σπληνὸς εἰς τὰ σκέλη μεθισταμένων αὐτῶν, ὁ μὲν ἐμειοῦτο, κατὰ δὲ τὴν ἐπὶ σκέλη φορὰν τῶν μεθισταμένων ἤλγησε μὲν τὰ πρῶτα κατὰ τὸν βουβῶνα τὸν ἀριστερόν, (οὗτος γάρ ἐστι κα τ ' ἴξιν σπληνό c, ) ἔπειτα 〈δὲ οἱ πόνοι〉 εἰς τὰς κνήμας ἀμφοτέρα c. ἐφ' οἷς δὴ συμπτώμασι διὰ τῆς νυκτὸς εὐφόρως ἔσχε καὶ οὔρησεν εὐχροώτερα καὶ λευκὴν ὑπόστασιν ἔχοντα μικρά ν. εἶτα κατὰ τὴν ἐπιοῦσαν ἡμέραν, ἥτις ἦν ἐνάτ η , με θ ' ἱδρῶτος ἐκρίθ η. τοσοῦτον ἄρα ἥ τε κάτω μετάστασις ἴσχυσε τῶν λυπούντων ἥ τε τῶν οὔρων πέψις. ἀλλὰ γὰρ οὐδ' οὕτως ἦν ἱκανὰ ταῦτα τελέως ἀπαλλάξαι τῆς νόσου τὸν κάμνοντα, ἱδρώσαντα κατὰ τὴν ἐνάτην ἡμέραν. ὑπελείφθη τοιγαροῦν αὐτῷ μόριόν τι τῆς κακοχυμίας, ὃ κατὰ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ὑποστροφὴν ἤνεγκεν, ἐφ' ᾗ τὸ σύμπαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑπτακαιδεκαταῖος ἐκρίθη, φυλαττομένης καὶ κατὰ τοῦτον τὸν ἄρρωστον τῆς ἐπὶ τῶν κρισίμων ἡμερῶν τηρήσεως. Ἐν Θάσῳ Φιλίνου γυναῖκα θυγατέρα τεκοῦσαν καὶ κατὰ φύσιν καθάρσεως γενομένης καὶ τὰ ἄλλα κούφως διάγουσα ν , τεσσαρεσκαιδεκαταίην ἐοῦσαν μετὰ τόκον πῦρ ἔλαβε μετὰ ῥίγεο ς . [15]

17a 269 ἤλγει δὲ ἀρχομένη καρδίην καὶ ὑποχόνδριον δεξιόν · γυναικείων πόνοι · κάθαρσις ἐπαύσατ ο . προσθεμένῃ δὲ ταῦτα μὲν ἐκουφίσθ η , κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνοι παρέμενο ν , ὕπνοι οὐκ ἐνῆσα ν , ἄκρεα ψυχρ ά , διψώδη ς , κοιλίη ξυνεκαύθ η , μικρὰ διῄε ι , οὖρα λεπτ ά , ἄχροα κα τ ' ἀρχά ς . ἑκταίῃ ἐς νύκτα παρέκρουσε πολλὰ καὶ πάλιν κατενόε ι . ἑβδόμῃ διψώδη ς , διαχωρήματα χολώδε α , κατακορέ α . ὀγδόῃ ἐπερρίγως ε , πυρετὸς ὀξύ ς , σπασμοὶ πολλοὶ μετὰ πόνο υ , πολλὰ παρέλεγεν · ἐξανίστατο βάλανον προσθεμένη · πολλὰ διῆλθε μετὰ περιρρόου χολώδεο ς · ὕπνοι οὐκ ἐνῆσα ν . ἐνάτῃ σπασμο ί . δεκάτῃ σμικρὰ κατενόε ι . * πάντων ἀνεμνήσθ η , ταχὺ δὲ πάλιν παρέκρουσε ν . οὔρει δὲ μετὰ σπασμῶν ἀθρόον πολ ύ , ὀλιγάκις ἀναμιμνῃσκόντω ν , παχὺ λευκό ν , οἷον γίνεται 〈ἐκ〉 τῶν καθισταμένω ν , ὅταν ἀναταραχθῇ · κείμενον πολὺν χρόνον οὐ καθίστατο · χρῶμα καὶ πάχος εἴκελον οἷον γίνεται ὑποζυγίω ν . [15]

17a 270 τοιαῦτα οὔρε ι , οἷα κἀγὼ εἶδο ν . περὶ δὲ τεσσαρεσκαιδεκάτην ἐούσῃ 〈παλμὸς δ ι ' ὅλου τοῦ σώματο ς · λόγοι πολλοί · σμικρὰ〉 κατενόει · διὰ ταχέων δὲ πάλιν παρέκρουσε ν . περὶ δὲ ἑπτακαιδεκάτην ἦν ἄφωνο ς . εἰκοστῇ ἀπέθανε ν . Δύο ** ἦν ἐκ ταύτης τῆς διηγήσεως, ὧν ἓν μὲν 〈ἐκείνῃ〉 κοινὸν καὶ πρὸς τοὺς ἔμπροσθεν καὶ 〈τοὺς〉 μετὰ ταῦτα γεγραμμένους ἀρρώστους, τὸ [μετὰ] τῶν κρισίμων ἡμερῶν, ἕτερον δὲ τὸ ἴδιον. ἐπισχεθείσης γὰρ τῇ γυναικὶ ταύτῃ τῆς μετὰ τὸν τόκον καθάρσεως ἥ τε νόσος ἐγένετο καὶ ὁ θάνατος. ἀπέθανε δὲ κατὰ τὴν εἰκοστή ν, τῆς τεσσαρεσκαιδεκάτης καὶ τῆς ἑπτακαιδεκάτης χειρόνων παρὰ τὰς ἄλλας γενομένων. τὸ δὲ προσθεμένη μετὰ μὲν τοῦ “βάλανον” ὅταν τύχῃ γεγραμμένον, εὔδηλον ἔχει τὸ σημαινόμενον, ἄνευ δὲ τῆς προσθή κης ἤτοι 〈γ'〉 ὑπακοῦσαι χρὴ τὸ “βάλανον” 〈ἢ〉 , ὥς τινες βούλονται, πεσσόν, παρηγορικὸν δηλονότι καὶ ἀφλέγμαντον. [15]

17a 271 ἐκεῖνό γε μὴν ἐπὶ πασῶν γυναικῶν, ὧν ἐπεσχέθη μετὰ τόκον ἡ κάθαρσι ς, ἐπίστασθαί τε καὶ μεμνῆσθαι προσῆκον, ὥς τινες μὲν ἐσχάτως ἐκινδύνευσαν [ἢ] ἀποθανεῖν, ὀλίγαι δὲ πάνυ μετρίως ἠνωχλήθησαν, ἐπεὶ ταῖς πλείσταις μὲν ἡ μήτρα φλεγμαίνει, τισὶ δὲ καὶ τὸ παρ' αὐτῷ τῷ τόκῳ ῥυὲν αἷμα κενωθὲν διάφορόν ἐστι κατὰ τὴν ποιότητα, ταῖς μὲν πικρόχολον ἢ μελαγχολικόν, ταῖς δὲ ἰῶδες ἢ φλεγματικὸν ἢ μετρίως χρηστόν, ἄμεμπτον δὲ τελέως οὐδέποτε. δεδαπάνηται γὰρ ἐξ αὐτοῦ τὸ κάλλιστον εἰς τροφὴν τοῦ κυηθέντος. ἐνδείκνυται δ' αὐτοῦ τὴν φύσιν καὶ τὰ γενόμενα συμπτώματα κατὰ τὴν ἐπίσχεσιν τῆς λοχείου καθάρσεω ς, ὥσπερ καὶ νῦν ἐπὶ τῆς προκειμένης ἐν τῷ λόγῳ τὸ μὲν ῥῖγος καὶ ὁ πυρετὸς ὀξὺς ἥ τε δίψα καὶ ὁ χολώδης περίρρους καὶ ἡ παραφροσύνη καὶ ἡ ἀγρυπνία χολώδους εἰσὶ πλεονάζοντος χυμοῦ γνωρίσματα, σπασμοὶ δὲ καὶ παλμοὶ καὶ τῷ [ οἷο ν ] τῶν ὑποζυγίων ἐοικὸς οὖρον ὠμοῦ καὶ παχέος. [15]

17a 272 αὗται δή εἰσιν ὄντως κάκισται τῶν νόσων, ἐν αἷς ἀμφότεροι πλεονάζουσιν οἱ εἰρημένοι χυμοί, καὶ τὸν ἡμιτριταῖον ἐπί γε τούτοις ἐδείκνυμεν ἐπιγίνεσθαι. τοῦ μὲν οὖν ἐπισφαλῶς νοσῆσαι τὴν γυναῖκα ταῦτα ἦν αἴτια. πότερον δὲ διαφεύξεται τὴν νόσον ἢ τεθνήξεται, τά τε συμπτώματα καὶ σημεῖα τὰ κατ' ἀρχὰς εὐθέως ἐξηγεῖσθαι δύναται. προσέχωμεν οὖν αὐτοῖς ἕνεκα γυμνασίας· τῇ πρώτῃ τῶν ἡμερῶν, ἥτις ἦν τεσσαρεσκαιδεκάτη μετὰ τόκο ν , πῦ ρ, φησίν, ἔλαβε τὴν ἄνθρωπον μετὰ ῥίγου ς. ἴσμεν δ' ὅτι πῦρ ὀνομάζει τὸν πυρωδέστατον πυρετόν, ἀλλ' οὔπω τοῦτό γε πάντως ὀλέθριον, ὥσπερ οὐδὲ τὸ καρδιαλγέειν, ὅπερ ἐστὶ τὸ στόμα τῆς κοιλίας ὀδυνᾶσθαι, ὡσαύτως οὐδὲ τὰ γυναικεῖα μόρια, καθάπερ οὐχ ὅτι τὸ δεξιὸν ὑποχόνδριον, ἀλλὰ καὶ ὕπνο ι, φησίν, οὐκ ἐνῆσα ν. αὔξεται μὲν οὖν ἡ διάγνωσις ἐκ τούτων ἁπάντων τῆς τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νοσήματος κακίας, οὐ μὴν ὅτι γε πάντως ἐπ’ αὐτοῖς τεθνήξεται δῆλον ἡμῖν, καθάπερ οὐδ’ ὅτι διψώδης 〈ἦν〉 οὐδ’ ὅτι τὰ οὖρα λεπτὰ καὶ ἄχρο α. χρόνου μὲν γὰρ εἰς πέψιν δεῖται τὰ τοιαῦτα τῶν οὔρων, οὐ μὴν ὀλέθριά γε πάντως ἐστίν.

17a 273 ἀλλὰ καὶ ἄκρε α, φησί, ψυχρ ά. τοῦτο μὲν ἤδη τῶν ἐσχάτως ὀλεθρίων ἐστὶν ἐν ἀρχῇ νοσήματος ἅμα σφοδροτάτῳ πυρετῷ γινόμενον. εἰ μὲν οὖν ἠπιστάμην, ὅπως εἶχε ῥώμης ἡ γυνή, καὶ περὶ τοῦ χρόνου τῆς νόσου δυνατὸν ἂν ἦν μοί τι λέγειν ἐπὶ τοῖς προειρημένοις συμπτώμασι, καὶ εἰ ἐκ παραδόξου τινὰ ἀμυδρὰν ἐλπίδα σωτηρίας εἶχεν. ἐπειδὴ δ’ ἄδηλόν μοι τοῦτο, μεμνῆσθαί γ’ ὑμᾶς χρὴ προστιθέναι τοῖς ὀλεθρίοις συμπτώμασι κατὰ τὰς ἐπισκέψεις τῶν νοσούντων τὸν ἀπὸ τῆς δυνάμεως διορισμόν. οὕτως γὰρ ἀποφήνασθαι βεβαίως δυνήσεσθε. ταύτῃ γοῦν τῇ γυναικὶ περὶ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν οἵ τε παλμοὶ δ ι ’ ὅλου τοῦ σώματος γενόμενοι καὶ ἡ παραφροσύνη τὸν ἐσόμενον θάνατον ἐδήλωσεν ἤτοι κατὰ τὴν ἑπτακαιδεκάτην ἢ κατὰ τὴν εἰκοστὴν ἐκ τῆς τῶν κρισίμων ἡμερῶν φύσεως. καὶ τοίνυν ἀμφότερα ἐγένετο, κατὰ μὲν τὴν ἑπτακαιδεκάτην ἀφωνίᾳ καταληφθείσης αὐτῆς, εἰκοσταίας δ ’ ἀποθανούση c. Ἐπικράτεος γυναῖκ α , ἣ κατέκειτο παρὰ Ἀρχηγέτη ν , περὶ τόκον ἐοῦσαν ῥῖγος ἔλαβεν ἰσχυρῶ c , οὐκ ἐθερμάνθ η , ὡς ἔλεγο ν , καὶ τῇ ὑστεραίῃ τὰ αὐτ ά .

17a 274 τρίτῃ δ ’ ἔτεκε θυγατέρα καὶ τὰ ἄλλα πάντα κατὰ λόγον ἦλθ ε . δευτεραίην μετὰ τὸν τόκον ἔλαβε πυρετὸς ὀξύ c , καρδίης πόνος καὶ γυναικείω ν . προσθεμένῃ δὲ ταῦτα μὲν ἐκουφίσθ η , κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνο c · ὕπνοι οὐκ ἐνῆσαν · ἀπὸ δὲ κοιλίης ὀλίγα χολώδεα λεπτὰ διῄει ἄκρητα · οὖρα λεπτὰ ὑπομέλαν α . ἀ φ ’ ἧς δ ’ ἔλαβε πυρετό c , ἐς νύκτα ἑκταίη παρέκρουσε ν . ἑβδομαίῃ πάντα παρωξύνθ η , ἄγρυπνο c , παρέκρουσε ν , διψώδη c , διαχωρήματα χολώδεα κατακορέ α . ὀγδόῃ ἐπερρίγωσε ν , ἐκοιμήθη πλεί ω . ἐνάτῃ διὰ τῶν αὐτῶ ν . δεκάτῃ σκέλεα ἐπιπόνως ἤλγε ι , καρδίης πάλιν ὀδύν η , καρηβαρί η , οὐ παρέκρουσε ν , ἐκοιμᾶτο μᾶλλο ν , κοιλίη ἐπέστ η . ἑνδεκάτῃ [ ἵδρωσε ν, ] οὔρησεν εὐχροώτερα συχνὴν ὑπόστασιν ἔχοντα · διῆγε κουφότερο ν .

17a 275 τεσσα ρεσκαιδεκάτῃ ἐπερρίγως ε , πυρετὸς ὀξύ c . πεντεκαιδεκάτῃ ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχν α , ἵδρωσεν ἀπύρετο c , ἐς νύκτα 〈δὲ〉 πυρετὸς ὀξύ c , οὖρα πάχος ἔχοντ α , ὑπόστασις λευκ ή . ἑξκαιδεκάτῃ παρωξύνθ η , νύκτα δυσφόρω c , οὐχ ὕπνως ε , παρέκρουσε ν . ὀκτωκαιδεκάτῃ διψώδη c , γλῶσσα ἐξεκαύθ η , οὐχ ὕπνωσε ν , παρέκρουσε πολλ ά , σκέλεα ἐπωδύνως εἶχε ν . περὶ δὲ εἰκοστὴν πρωὶ μικρὰ ἐπερρίγως ε , κωματώδη c , δ ι ’ ἡσυχίης ὕπνωσε ν , ἤμεσε χολώδεα ὀλίγα μέλαν α , ἐς νύκτα κώφωσι c . περὶ δὲ πρώτην καὶ εἰκοστὴν πλευροῦ ἀριστεροῦ βάρος δ ι ’ ὅλου με τ ’ ὀδύνη c , σμικρὰ ἐπέβησσε ν , οὖρα δὲ πάχος ἔχοντα θολερ ά , ὑπέρυθρα · κείμενα οὐ καθίστατο · τὰ 〈 δ ’〉 ἄλλα κουφοτέρω c · οὐκ ἄπυρο c . αὕτη ἐξ ἀρχῆς φάρυγγα ἐπώδυνο c , ἔρευθο c , κίων ἀνεσπασμένο c , ῥεῦμα δριμ ύ , δακνῶδε c , ἁλμυρῶδες διὰ τέλεος παρέμεινε ν . περὶ 〈δὲ〉 ἑβδόμην καὶ εἰκοστὴν ἄπυρο c , οὔροισιν ὑπόστασι c , πλευρὸν ὑπήλγε ι . περὶ δὲ πρώτην καὶ τριακοστὴν πῦρ ἔλαβε ν , κοιλίη χολώδεσιν ἐπεταράχθ η . τεσσαρακοστῇ ἤμεσεν ὀλίγα χολώδε α , ἐκρίθ η .

17a 276 τελέως ἄπυρος ὀγδοηκοστ ῇ . Πλησίον οὖσαν τὴν γυναῖκα τήνδε τῆς προθεσμίας τοῦ τόκου ῥιγῶσαί φησι χωρὶς τοῦ πυρέξαι. πρόσκειται δὲ τῇ λέξει τὸ ὡς ἔλεγον ἐπὶ τῷ παραδόξῳ τοῦ πράγματος. ᾤοντο γὰρ οἱ παλαιοὶ σχεδὸν ἅπαντες ἐπιγίγνεσθαι τοῖς αὐτομάτοις ῥίγεσι πυρετὸν ἐξ ἀνάγκης. αὐτόματα δὲ δηλονότι καλεῖται τὰ χωρὶς τῆς ἔξωθεν αἰτίας. ἐν γοῦν τῷ προοιμίῳ τοῦ ἁπλῶς ἐπιγεγραμμένου Πρώτου περὶ νούσων ὡς ἐξ ἀνάγκης ἑπομένου τῷ ῥίγει τοῦ πυρετοῦ γέγραπται. δέδεικται δ’ ἡμῖν τὸ τοιοῦτον ῥῖγο c, ᾧ πυρετὸς οὐκ ἀκολουθεῖ, ψυχρῶν καὶ ὠμῶν χυμῶν ἔκγονον εἶναι καὶ διὰ τοῦτο μᾶλλον 〈νῦν〉 ἢ πάλαι γίνεσθαι. τὸ γὰρ ἀταλαίπωρον τῆς ὅλης διαίτης ἅμα τοῖς ἐπὶ τροφῇ λουτροῖς ἀθροίζειν εἴωθε τὸ τοιοῦτον πλῆθος. ἔοικε 〈δὲ〉 καὶ ἡ τοῦ Ἐπικράτους γυνὴ τοῦτο σχεῖν τὸ πλῆθος. ἐν γοῦν τῇ πρώτῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἡμε ρῶν ῥιγῶσαί φησιν αὐτή ν , χωρὶς τοῦ θερμανθῆναι, τουτέστι χωρὶς τοῦ πυρέξαι, καὶ πάλιν ἐπὶ τῆς ὑστεραίας ὡσαύτω ς, εἶτα τῇ τρίτῃ τῶν ἡμερῶν ἀποκυῆσα ι, τάχα καὶ πρὸ τῆς ἀκριβοῦς προθεσμίας συμβάντος τοῦ τόκου διὰ τὴν σφοδρότητα τοῦ ῥίγου ς .

17a 277 μετὰ γοῦν τὸν τόκον ἡμέρᾳ δευτέρᾳ τὴν καρδίαν, τουτέστι τὸ στόμα τῆς κοιλίας, ἀλγῆσαί φησιν αὐτὴν καὶ τὰ γυναικεῖα, (προσυπακοῦσαι 〈γὰρ〉 αὐτῷ χρὴ 〈τὸ〉 μόρια,) καθάπερ καὶ τὴν πρὸ ταύτης. εἶτά φησι προσθεμένῃ ταῦτα κουφισθῆνα ι. προείρηται δ' ὅτι καὶ βάλανον καὶ πεσσὸν ἐπὶ τῷ προσθεμένῃ δύνατόν ἐστι προσυπακούειν. εἶθ' ἑξῆς καταλέγει συμπτώματα νοσημάτων ὀξέων, κεφαλῆς μὲν καὶ τραχήλου καὶ ὀσφύος πόνο ν , ἀγρυπνίαν δὲ καὶ διαχωρήσεις ἀκράτου ς , χολώδει ς, ᾧ καὶ δῆλον, ὡς οὐκ ὠμὸς μόνον, ἀλλὰ καὶ χολώδης ἐπλεόναζε χυμός. ὄντων δὲ τῶν οὔρων λεπτῶν, ἀναγκαῖον ἦν χρονίσαι τὴν νόσον. ἐπεὶ δὲ καὶ ὑπομέλανά φησι ταῦτα γενέσθαι, τοῦτο δὴ τὸ σὺν ἀγῶνι καὶ ταραχὴν δηλοῖ. καὶ μέχρι γε τῆς ἑνδεκάτης ἡμέρας ἄδηλον ἦν, εἰ σω θήσεται τὸ γύναιον, οὐδενὸς ἐν τῷ μεταξὺ γενομένου σημείου σαφοῦς, ἐφ' ᾧ τις ἢ σωτηρίαν ἢ θάνατον ἐλπίσει.

17a 278 κατὰ δὲ τὴν ἑνδεκάτην ἐπεφάνη τι σωτηρίας σημεῖον, ἔνθα φησίν· ἑνδεκάτῃ οὔρησεν εὐχροώτερα συχνὴν ὑπόστασιν ἔχοντ α , διῆγε κουφότερο ν. ἐπ' αὐτῆς οὖν ὀψὲ τῆς πέψεως τῶν χυμῶν ἀρξαμένης ἀναγκαῖον ἦν χρονίσαι τὸ νόσημα, καὶ διὰ τοῦτο τεσσαρακοσταία μὲν ἐκρίθη τὸ πρῶτον, ὡς ἀκινδύνως ἔχειν ἤδη, μεταξὺ δὲ ἄχρι τῆς ὀγδοηκοστῆς ἐνοσηλεύετο, τελέως δὲ κατὰ τὴν ὀγδοηκοστὴν ἀπηλλάγη. μέμνησο τοιγαροῦν, ὡς ἡ πεῖρα μαρτυρεῖ τὴν τεσσαρακοστὴν καὶ ὀγδοηκοστὴν κρισίμους εἶναι, ψευδοῦς ὄντος καὶ μὴ φαινομένου διὰ τῆς ἐμπειρίας τοῦ κατὰ τελείας ἑβδομάδας συναριθμεῖσθαι τὰς κρισίμους ἡμέρας. οὕτω γὰρ ἂν ἡ δευτέρα καὶ τεσσαρακοστὴ καὶ τρίτη καὶ ἑξηκοστὴ καὶ τετάρτη καὶ ὀγδοηκοστὴ τὰς κρίσεις ἔφερον, οὐ τεσσαρακοστὴ καὶ ἑξηκοστὴ καὶ ὀγδοηκοστ ή. Κλεανακτίδη ν , ὃς κατέκειτο ἐπάνω τοῦ Ἡρακλείο υ , πῦρ ἔλαβε πεπλανημένω ς · ἤλγει δὲ καὶ κεφαλὴν ἐξ ἀρχῆς καὶ πλευρὸν ἀριστερό ν , καὶ τῶν ἄλλων πόνοι κοπιώδεα τρόπον · οἱ πυρετοὶ παροξυνόμενοι ἄλλοτε ἀλλοίω ς , ἀτάκτω ς · ἱδρῶτες ὅτε μέ ν , ὅτε δ ' οὔ · τὰ μὲν πλεῖστα ἐπεσήμαινον οἱ παροξυσμοὶ ἐν κρισίμοισι μάλιστ α .

17a 279 περὶ δὲ 〈εἰκοστὴν〉 τετάρτην καὶ χεῖρας ἄκρας ἐπόνησε ν , ἤμεσε ξανθὰ χολώδε α , ὑπόσυχν α , με τ ' ὀλίγον 〈δὲ〉 ἰώδεα · πάντων ἐκουφίσθ η . περὶ δὲ τριακοστὴν ἐόντι ἤρξατο ἀπὸ ῥινῶν αἱμορραγεῖν ἐξ ἀμφοτέρων καὶ ταῦτα πεπλανημένως κα τ ' ὀλίγον μέχρι κρίσεω ς · οὐκ ἀπόσιτος οὐδὲ διψώδης παρὰ πάντα τὸν χρόνον οὐδὲ ἄγρυπνο ς · οὖρα 〈δὲ〉 λεπτ ά , οὐκ ἄχρο α . περὶ δὲ τεσσαρακοστὴν ἐὼν οὔρησεν ὑπέρυθρα ὑπόστασιν πολλὴν ἐρυθρὴν ἔχοντα · ἐκουφίσθ η . μετὰ δὲ ποικίλως τὰ τῶν οὔρω ν , ὅτε μὲν ὑπόστασιν εἶχε ν , ὅτε δ ' ο ὔ . ἑξηκοστῇ οὔροις ὑπόστασις πολλὴ καὶ λευκὴ καὶ λεί η , ξυνέδωκε πάντ α , πυρετοὶ διέλιπο ν , οὖρα δὲ πάλιν λεπτὰ μέ ν , εὔχροα δ έ .

17a 280 ἑβδομηκοστῇ πυρετό ς , διέλειπεν ἡμέρας δέκ α . ὀγδοηκοστῇ [ ἀπύρετος διέλειπε ν ] ἐρρίγως ε , πυρετὸς ὀξὺς ἔλαβε ν , ἵδρωσεν πολλῷ · οὔροισιν ὑπόστασις ἐρυθρ ή , 〈λεί η ,〉 τελέως ἐκρίθ η . Κλεανακτίδην, φησί, πῦρ ἔλαβ ε, τουτέστι πυρετὸς σφοδρὸς κατέσχεν· εἶτ' ἐπιφέρει πεπλανημένω ς, ὅπερ ἐστὶν ἄνευ τῆς κατὰ περίοδον τάξεως, ὡς ποτὲ μέν, εἰ οὕτως ἔτυχε, διὰ τρίτης ἢ τετάρτης ἡμέρας πυρέξαι, ποτὲ δὲ διὰ πέμπτης ἢ ἕκτης. παρηκολούθησε δ' αὐτῷ διὰ παντὸς ἀγαθὰ σημεῖα τὰ περὶ τὴν ὄρεξιν τῶν σιτίων καὶ 〈τὸν〉 ὕπνον 〈τὸ〉 ἄδιψόν τ' εἶναι καὶ οὐρεῖν οὐκ ἄχρο α. ταῦτα γὰρ αὐτὸς ὁ Ἱπποκράτης κατὰ λέξιν ἔγραψεν ὡδί· οὐκ ἀπόσιτος οὐδὲ διψώδης παρὰ πάντα τὸν χρόνον οὐδὲ ἄγρυπνο ς , 〈οὖρα δὲ λεπτ ά , οὐκ ἄχροα 〉 . ἅμα δὲ καὶ τὸ μὴ χολώδη καὶ θερμὸν εἶναι τὸν πλεονάζοντα χυμὸν ἐξ αὐτῶν ἐδηλοῦτο.

17a 281

διψώδεις γὰρ ὑπ’ ἐκείνου καὶ ἄγρυπνοι γίνονται καὶ μᾶλλον ἀπόσιτο ι, τουτέστιν ἀνόρεκτοι. εἰ μὲν οὖν, ὥσπερ εὔχροα τὰ οὖρα διὰ παντὸς ἦν, οὕτως καὶ τῆς συστάσεως ἔσχε μετρίως, οὐκ ἂν εἰς χρόνου μῆκος ἡ νόσος παρῆλθεν, ἀλλ’ ἴσως ἂν ἐκρίθη περὶ 〈τὴν〉 τεσσαρακοστήν, ὥσπερ, εἰ καὶ νεφέλην ἔσχε χρηστήν, θᾶττον ἂν ἐπαύσατο. νυνὶ δ’ ἐπεὶ λεπτὰ διὰ παντὸς ἦν τὰ οὖρ α, χρόνου συχνοῦ πρὸς πέψιν ἐδεῖτο. περὶ δ’ οὖν τὴν τεσσαρακοστὴν ἡμέραν οὐρῆσαί φησιν αὐτὸν ὑπέρυθρ α , ὑπόστασιν πολλὴν ἐρυθρὰν ἔχοντ α. τὸ δὲ τοιοῦτον οὖρον ἐν τῷ Προγνωστικῷ “πολυχρονιώτερον μὲν” εἶναί φησι τοῦ τὴν λευκὴν ὑπόστασιν ἔχοντος, “σωτήριον δὲ κάρτα”. μετὰ δὲ τὴν τεσσαρακοστὴν ἔγραψε ποικίλως τὰ τῶν οὔρων αὐτῷ γενέσθαι, ποτὲ μὲν ὑπόστασιν ἔχοντ α , ποτὲ δ ’ ο ὔ, σύμφωνον τοῦτο τῶν πεπλανημένων παροξυσμῶ ν· ἐκεῖνοί τε γὰρ ἐπὶ ποικιλίᾳ τῶν τὰς νόσους ἐργαζομένων γίνονται χυμῶν, ἥ τε τῶν οὔρων ἀπεψία. [15]

17a 282 καὶ πέψις ἐναλλὰξ φαινομένη τινὰς μὲν αὐτῶν ἐδήλου πέττεσθαι, τινὰς δ’ ἀπέπτους διαμένειν. κατὰ γοῦν τὴν ἑξηκοστὴν ἡμέραν πολλὴν καὶ λείαν καὶ λευκὴν ὑπόστασιν γενέσθαι φησὶ καὶ διὰ τοῦτο ἐπιφέρει· ξυνέδωκε πάντ α , διέλιπον οἱ πυρετο ί. ἀλλ’ ἐφεξῆς γε τούτων ὡδὶ γράψας· οὖρα δὲ πάλιν λεπτὰ μέ ν , εὔχροα δ έ, καταλελεῖφθαί τινας ἀπέπτους ἐνδείκνυται χυμούς, ὧν κατὰ βραχὺ πεφθέντων ἡ ὀγδοηκοστὴ τελείαν τὴν κρίσιν ἤνεγκε, περὶ ἧς ἔγραψε κατὰ λέξιν οὕτως· ὀγδοηκοστῇ ἐρρίγως ε , πυρετὸς ὀξὺς ἔλαβε ν , ἵδρωσε πολλ ῷ , οὔροισιν ὑπόστασις ἐρυθρ ή , λεί η . τελέως ἐκρίθ η. μέμνησο δὲ πάλιν ἐνταῦθα τῆς ἰδίας ὑποστάσεως μέγιστον δυναμένης ἐν οὔροι c, 〈ἐπειδήπερ ὡς ἂν λείψανον οὖσαν ἄλλου τινὸς περιττοῦ ταύ〉 την λευκὴν μέν, παχεῖαν δὲ καὶ τοῖς ἀποθανοῦσι γεγονέναι φησίν. ἐπὶ γοῦν Σιληνοῦ δευτέρου γεγραμμένου τῶν κατὰ τοῦτο τὸ βιβλίον 〈ἀρρώστων〉 οὕτως εἶπεν· “οὔρησεν ἀθρόον ὑπόπαχυ· κειμένῳ ὑπόστασις κριμνώδης λευκή”, καίτοι κατὰ τὴν ὑστεραίαν ἀπέθανεν ὁ Σιληνὸς οὗτος, ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας, τῇ δεκάτῃ τὸ εἰρημένον οὖρον ἀποκρίνας. ἀλλὰ καὶ τῶν κρισίμων ἡμερῶν τῆς περιόδου μέμνησο, τῆς μὲν ἑξηκοστῆς προκρινάσης, οὐ τῆς τρίτης καὶ ἑξηκοστῆς, ἐπ’ αὐτῇ δὲ τῆς ὀγδοηκοστῆ c, οὐ τῆς τετάρτης καὶ ὀγδοηκοστῆς, ὡς τῶν τριῶν ἑβδομάδων οὐκ εἰς τὴν πρώτην καὶ εἰκοστὴν ἡμέραν προερχομένων, ἀλλ’ ἐν τῇ εἰκοστῇ περιγραφομένων. [15]

17a 283 Μέτωνα πῦρ ἔλαβε ν , ὀσφύος βάρος ἐπώδυνο ν . δευτέρῃ ὕδωρ πιόντι ὑπόσυχνον ἀπὸ κοιλίης καλῶς διῆλθ ε . τρίτῃ κεφαλῆς βάρο c , διαχωρήματα λεπτ ά , χολώδε α , ὑπέρυθρ α . τετάρτῃ παρωξύνθ η , ἐρρύη ἀπὸ δεξιοῦ δὶς κα τ ’ ὀλίγο ν . νύκτα δυσφόρω c , διαχωρήματα ὅμοια τῇ τρίτ ῃ , οὖρα ὑπομέλανα · 〈εἶχεν〉 ἐναιώρημα 〈ὑπόμελαν ἐό ν ,〉 διεσπασμένον · οὐχ ἱδρύετ ο . τῇ πέμπτῃ ἐρρύη λάβρον ἐξ ἀριστεροῦ ἄκρητο ν , ἵδρωσε ν , ἐκρίθ η . μετὰ δὲ κρίσιν ἄγρυπνο c , παρέλεγε ν , οὖρα λεπτὰ ὑπομέλαν α . λουτροῖσιν ἐχρήσατο κατὰ κεφαλῆ c , ἐκοιμήθ η , κατενόε ι . τούτῳ οὐχ ὑπέστρεψε ν , ἀλ λ ’ ἡμορράγει πολλάκις μετὰ κρίσι ν . Οὗτος ὁ ἄρρωστος μαρτυρεῖ τῷ καθόλου λόγῳ τῷδε· “αἱμορραγίαι λάβροι ἐκ ῥινῶν ῥύονται τὰ πολλά. [16]

17a 284 ” φαίνεται γοῦν ὑπὸ μόνης αἱμορραγίας κριθείς τε καὶ σωθείς, καίτοι γ’ οὐκ ἀκίνδυνα σχὼν σημεῖα. κατὰ γοῦν τὴν τετάρτην ἡμέραν γενέσθαι φησὶν αὐτῷ οὖρα ὑπομέλαν α. εἶτ’ ἐπιφέρει· εἶχεν ἐναιώρημα ὑπόμελαν ἐό ν , διεσπασμένο ν , οὐχ ἱδρύετ ο. καὶ μέντοι κατὰ τὴν πέμπτην ἡμέραν αἱμορραγήσαντος αὐτοῦ καὶ ἱδρώσαντος καὶ κριθέντος ἐπὶ τούτοις ὅμως [ἐπὶ τούτοις] οὖρά φησι λεπτ ά , ὑπομέλαν α· κἄπειτ’ ἠγρύπνει καὶ παρέλεγεν, ὅπερ ἐστὶ παρελάλει. μέγιστον 〈δὲ〉 τούτου σε βοήθημα ἐδίδαξε τὸ κατὰ κεφαλῆς λουτρόν, εἰρηκὼς ἐν τῷ Περὶ διαίτης ὀξέων φυλάσσεσθαι δεῖν τὸ λουτρὸν ἐπὶ “τῶν αἱμορραγούντων, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι”. νυνὶ δὲ ἔλαττον ἦν τοῦ προσήκοντος, εἴ γε καὶ ἄγρυπνος διέμενε καὶ παρέλεγε ν. ἀλλὰ καὶ 〈τὸ〉 “ἃ δεῖ ἄγειν ταύτῃ ἄγειν, ὅπῃ ἂν μάλιστα ῥέπῃ, 〈διὰ〉 τῶν ξυμφερόντων

χωρίων” ὀρθῶς 〈ἐν τοῖς Ἀφορισμοῖς〉 ἐν τῷ καθόλου λελεγμένον ὑπὸ τοῦ νῦν γεγενημένου μαρτυρεῖται. [15]

17a 285 καὶ μέντοι καὶ τοῦδε μέμνησο τοῦ κατὰ τὴν τῆς τρίτης ἡμέρας διήγησιν εἰρῆσθαι βάρος κεφαλῆ c, ὡς τοῦ πλήθους ἐν αὐτῇ φαινομένου. μέμνησο δὲ καὶ ὅτι κατὰ 〈μὲν〉 τὴν τετάρτην κρίσιμον οὖσαν αἱμορραγεῖν ἤρξατο, τῇ δὲ πέμπτῃ λάβρως αἱμορραγήσας καὶ ἱδρώσας ἐκρίθ η. ταῦτα δ’ ἐπὶ πλέον ἐν τοῖς Περὶ κρισίμων ἡμερῶν ἕξεις ἐξειργασμένα. τὸ δ’ ἐπὶ τῇ τελευτῇ τῆς ὅλης διηγήσεως γεγραμμένον ὑπ’ αὐτοῦ τούτῳ οὐχ ὑπέστρεψε ν , ἀλ λ ’ ᾑμορράγει 〈πολλάκις〉 μετὰ κρίσιν εἴρηται, διότι χωρὶς πέψεως τῶν οὔρων ἐκρίθη. μεμαθήκαμεν δὲ παρ’ αὐτοῦ 〈κατὰ τοῦτο〉 τὸ βιβλίον, ὅτι “πεπασμοὶ ταχυτῆτα κρίσεως, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν, ὠμὰ δὲ καὶ ἄπεπτα 〈καὶ〉 εἰς κακὰς ἀποστάσεις τρεπόμενα ἢ ἀκρισίας ἢ πόνους ἢ θάνατον ἢ χρόνον ἢ τῶν αὐτῶν ὑποστροφάς.” ἀλλ’ ὠμὰ μὲν ἦν ἔτι καὶ ἄπεπτα, οὐ μὴν εἰς κακὰς ἀποστάσεις ἐτράπετο. τῶν γοῦν ἀποστάσεων αὐτὸς ἐδίδαξεν ἀρίστας μὲν εἶναι τὰς κατ’ ἔκρουν, δευτέρας αὐτῶν τὰς πορρωτάτω τῶν πεπονθότων μορίων καὶ κάτω τοῦ σώματος. Ἐρασῖνος ᾤκει παρὰ Βοώτου χαράδρη ν . [16]

17a 286 πῦρ ἔλαβε μετὰ δεῖπνο ν , νύκτα ταραχώδη c . ἡμέρην τὴν πρώτην δ ι ’ ἡσυχίη c , νύκτα ἐπιπόνω c . δευτέρῃ πάντα παρωξύνθ η , ἐς νύκτα παρέκρους ε . τρίτῃ ἐπιπόνω c , πολλὰ παρέκρουσε ν . τετάρτῃ δυσφορώτατα · ἐς δὲ τὴν νύκτα οὐδὲν ἐκοιμήθη · ἐνύπνια καὶ λογισμοί · ἔπειτα χείρ ω , μεγάλα καὶ ἐπίκαιρ α , φόβο c , δυσφορί η . πέμπτῃ πρωὶ κατήρτητο · κατενόει πάντα · πολὺ δὲ πρὸ μέσου ἡμέρης ἐξεμάν η , κατέχειν οὐκ ἠδύνατ ο , ἄκρεα ψυχρὰ ὑποπέλι α , οὖρα ἐπέστη · ἀπέθανε περὶ ἡλίου δυσμά c . τούτῳ πυρετοὶ διὰ τέλεος σὺν ἱδρῶτ ι , ὑποχόνδρια μετέωρ α , σύντασις με τ ’ ὀδύνη c · οὖρα δὲ μέλανα ἔχοντα ἐναιωρήματα στρογγύλα · οὐχ ἱδρύετο · ἀπὸ κοιλίης δὲ κόπρανα διῄει · δίψα διὰ τέλεος οὐ λίην · σπασμοὶ πολλοὶ σὺν ἱδρῶτι περὶ θάνατον [ δὲ διὰ τέλεο c] . Τῷ Ἐρασίνῳ τούτῳ 〈 δὴ διὰ τέλεο c,〉 τουτέστι δι’ ὅλου τοῦ νοσήματος, ἱδρὼς ἦν ἄκριτος ὑποχόνδριά τε μοχθηρῶς ἔχοντα καὶ οὖρα μέλαν α. [15]

17a 287 τίς 〈δ’ ἐπὶ τούτοις〉 ἐλπὶς ἦν σωτηρίας αὐτῷ; ὥστε κἂν εὐλόγως δόξαι τις μάτην γεγράφθαι τὰ κατὰ τὸν ἄνθρωπον τόνδε διὰ τὸ πᾶσι πρόδηλον εἶναι τὸ ἐσόμενον ἐπ’ αὐτοῦ. ἀλλ’ ἴσως αὐτοῦ τοῦ κατὰ τὸν θάνατον τάχους παράδειγμα τὸν ἀρρωστοῦντα 〈τοῦτον〉 ἔγραψεν. ἐν γοῦν τῷ Προγνωστικῷ προειπών· “οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἀριθμόν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι καὶ ἐξ ὧν ἀπόλλυνται”, κἄπειτα τοὺς πυρετοὺς εὐηθε〈στάτους καὶ τὰ ἀσφαλέστατα〉 σχόντας σημεῖα προειπὼν τεταρταίους παύεσθαι ἢ πρόσθεν, ἐφεξῆς εἶπεν· “οἵ τε κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν”. ὁ τοίνυν Ἐρασῖνο c, καίτοι πάντ’ ἔχων δεινά, μέχρι τῆς πέμπτης ἡμέρας προέβη, ὅτι κατὰ τὴν πρώτην εἶχε μετρίως. ἔγραψε γοῦν ἐπ’ αὐτοῦ κατὰ λέξιν οὕτως· ἡμέρην τὴν πρώτην δ ι ’ ἡσυχίη c . ἡ πέμπτη τοίνυν ἀπὸ τῆς ἀρχῆς, κα θ ’ ἣν ἀπέθαν ε , τετάρτη γίνεται μὴ συναριθμουμένης τῆς πρώτης. Κρίτωνι ἐν Θάσῳ ποδὸς ὀδύνη ἤρξατο ἰσχυρὴ ἀπὸ δακτύλου τοῦ μεγάλου ὀρθοστάδην περιιόντ ι . [17]

17a 288 κατεκλίνη αὐθημερό ν , φρικώδη c , ἀσώδη c , 〈σμικρὰ〉 ὑποθερμαινόμενο c , ἐς νύκτα παρεφρόνησε ν . δευτέρῃ οἴδημα δ ι ’ ὅλου τοῦ ποδὸς καὶ περὶ σφυρὸν ὑπέρυθρον [ κα ὶ ] μετὰ συντάσιο c , φλυκταινίδια μέλαν α , πυρετὸς ὀξύ c , ἐξεμάν η . ἀπὸ δὲ κοιλίης ἄκρητ α , χολώδε α , ὑπόσυχνα διῆλθε ν . ἀπέθανεν ἀπὸ τῆς ἀρχῆς δευτεραῖο c . Οὗτος ὁ ἄρρωστος ἄξιός ἐστι μνημονεύεσθαι διὰ τὸ τάχιον τῆς ἀπωλείας. εἰ δὲ προσεγέγραπτο καὶ ὁ τρόπος τοῦ θανάτου, τότ’ ἂν ἡμᾶς ὁ λόγος ὠφέλησε τελέως. νυνὶ δὲ ἐξ ὧν ἔγραψεν ὅτι πλῆθος ἦν πάμπολυ φαίνεται. καὶ ὡς ὥρμησεν ἡ φύσις ἀπὸ τῶν κυρίων μερῶν αὐτὸ πρὸς τὸ σκέλος ἀποθέσθαι, μὴ δυναμένου δὲ τοῦ μορίου δέξασθαι τὸ πᾶν, ὅσον ὑπελείπετο τοῦ περιττοῦ τούτου,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παλινδρομῆσαν εἰς τὴν κεφαλὴν ἀνήχθη, κακοήθους δ’ ὄντος αὐτοῦ παραφροσύνη μανιώδης ἐγένετο.

17a 289 τεκμήριον δὲ τῆς κακοηθείας τοῦ περιττοῦ τὸ παραχρῆμα φλυκταινίδια μέλανα γενέσθαι περὶ τὸ σφυρό ν. ἄξιον οὖν ἐστι θαυμάσαι, διὰ τί τὸν ἄνθρωπον τοῦτον οὐκ ἐφλεβοτόμησεν εὐθέως ἀρχόμενον τοῦ νοσεῖν. ἀλλ’ ἴσμεν ὡς ἐπὶ τοὺς πλείστους ὧν ἔγραψεν ἀρρώστων εἰσήχθη προηκούσης ἤδη τῆς νόσου. Τὸν Κλαζομένιο ν , ὃς κατέκειτο παρὰ τὸ Φρυνιχίδεω φρέα ρ , πῦρ ἔλαβ ε . ἤλγει δὲ κεφαλὴν καὶ τράχηλον καὶ ὀσφὺν ἐξ ἀρχῆ ς , αὐτίκα δὲ κώφωσι ς · ὕπνοι οὐκ ἐνῆσα ν , πυρετὸς ὀξὺς ἔλαβε ν , ὑποχόνδριον ἐπῆρτο με τ ’ ὄγκου 〈οὐ λίη ν ,〉 σύντασις [ ὀλίγ η] , γλῶσσα ξηρ ή . τετάρτῃ ἐς νύκτα παρεφρόνησε ν . 〈πέμπτῃ〉 ἐπιπόνω ς . ἕκτῃ πάντα παρωξύνθ η . περὶ δὲ ἑνδεκάτην σμικρὰ συνέδωκε ν . ἀπὸ δὲ κοιλίης ἀ π ’ ἀρχῆς καὶ μέχρι τεσσαρεσκαιδεκάτης λεπτ ά , πολλ ά , ὑδατόχροα διήε ι .

17a 290 εὐφόρως τὰ περὶ διαχώρησιν διῆγε ν , ἔπειτα κοιλίη ἐπέστ η , οὖρα διὰ τέλεος λεπτὰ μέ ν , εὔχροα δὲ καὶ πολλ ά , εἶχεν ἐναιώρημα ὑποδιεσπασμένο ν , οὐχ ἱδρύετ ο . περὶ 〈δὲ〉 ἕκτην καὶ δεκάτην οὔρησεν ὀλίγῳ παχύτερ α , εἶχε σμικρὴν ὑπόστασιν · ἐκούφισεν ὀλίγ ῳ , κατενόει μᾶλλο ν . ἑπτακαιδεκάτῃ πάλιν λεπτ ά , παρὰ δὲ τὰ ὦτα ἀμφότερα ἐπήρθη ξὺν ὀδύν ῃ , ὕπνοι οὐκ ἐνῆσα ν , παρελήρε ι , σκέλεα ἐπωδύνως εἶχε ν . εἰκοστῇ ἄπυρος ἐκρίθ η , οὐχ ἵδρως ε , πάντα κατενόε ι . περὶ δὲ εἰκοστὴν ἑβδόμην ἰσχίου ὀδύνη δεξιοῦ ἰσχυρῶ ς · διὰ ταχέων ἐπαύσατ ο . τὰ δὲ παρὰ τὰ ὦτα οὔτε καθίστατο οὔ τ ’ ἐξεπύε ι , ἤλγει δ έ . περὶ πρώτην καὶ τριακοστὴν διάρροια πολλοῖσιν ὑδατώδεσι μετὰ δυσεντεριωδέων · οὖρα παχέα οὔρησεν · κατέστη τὰ παρὰ τὰ ὦτ α . τεσσαρακοστῇ ὀφθαλμὸν δεξιὸν ἤλγεε ν , ἀμβλύτερον ἑώρ α , κατέστ η . Οὗτος ὁ ἄνθρωπος καὶ μαρτύριόν τι καὶ παράδειγμά ἐστιν οὐκ ὀλίγον 〈τῶν〉 καθόλου θεωρημάτων.

17a 291 ἀρξώμεθα δὲ ἀπὸ τῶν οὔρων, ἐφ’ ὧν ἔγραψε κατὰ τὴν ἑνδεκάτην ἡμέραν· οὖρα διὰ τέλεος λεπτὰ μέ ν , εὔχροα δὲ 〈καὶ〉 πολλ ά , εἶχεν ἐναιώρημα ὑποδιεσπασμένο ν , οὐχ ἱδρύετ ο. ὡς γὰρ ἐξ ἀρχῆς αὐτῶν τοιούτων γεγονότων καὶ παραμεινάντων γε μέχρι τῆς ἕκτης καὶ δεκάτης ὁμοίως, οὕτως φαίνεται πεποιῆσθαι τὴν διήγησιν. ἐπὶ 〈δὲ〉 τῆς ἕκτης καὶ δεκάτης ἡμέρας ἐδήλωσε τὴν μεταβολὴν αὐτῶν, ὡς τότε πρῶτον γενομένην, οὕτως εἰπών· περὶ δὲ ἕκτην καὶ δεκάτην [ἡμέρας] οὔρησεν ὀλίγῳ παχύτερ α , εἶχε σμικρὴν ὑπόστασι ν. εὔδηλον οὖν ὅτι λεπτὰ μέν, εὔχροα δὲ οὖρα διὰ μὲν τῆς εὐχροίας ἐνδείκνυται 〈τὸ〉 σωθήσεσθαι, διὰ δὲ τῆς λεπτότητος 〈τὸ〉 χρόνου δεῖσθαι πρὸς τὴν πέψιν. ἦν δὲ οὐδὲ τῶν λυπούντων ἓν εἶδος. μετὰ γὰρ τὸ προειπεῖν ἐπὶ τῆς ἕκτης καὶ δεκάτης ἡμέρας τὴν μεταβολὴν τῶν οὔρων ἐφεξῆς φησι· τῇ ἑπτακαιδεκάτῃ πάλιν λεπτ ά. κατὰ δὲ τὴν αὐτὴν ἡμέραν φησὶ παρὰ τὰ ὦτα ἐπαρθῆναι αὐτῷ, καὶ εἴ γε σὺν οὔροις παχέσιν ἐγεγόνει, κατὰ τὴν εἰκοστὴν ἂν ἔσχε τελέως καλῶς, οὔσης τῆς ἑπτακαιδεκάτης ἐπιδήλου τῆς εἰκοστῆς.

17a 292 ἐκρίθη μὲν οὖν ἐπ’ αὐτῆς ταύτης, οὐ μὴν ἔσχε 〈γε〉 τὸ βέβαιον ἡ κρίσις. ἀλλὰ καὶ 〈τὰ〉 παρὰ τὰ ὦτα οὔτε καθίστατο οὔ τ ’ ἐξεπύε ι , ἤλγει 〈δ έ. καὶ〉 μέντοι καὶ 〈περὶ πρώτην καὶ τριακοστὴν〉 διαρροίας ἀρξαμένης μετὰ δυσεντεριωδῶν, τουτέστι μετὰ ξυσματωδῶν διαχωρημάτων, ἅπερ ἦν τῆς δριμύτητος τῶν ἐκκρινομένων χυμῶν γνωρίσματα, καὶ σὺν αὐτοῖς οὔρων παχέων γενομένων κατέστη τὰ παρὰ τὰ ὦτ α. καὶ τούτων οὖν προιόντων ἡ τελεία τοῦ νοσήματος ἀπαλλαγὴ κατὰ τὴν τεσσαρακοστὴν ἡμέραν ἐγένετο. μέμνησο τοίνυν ἐπὶ τῶν τοιούτων κρίσεων μὴ μόνον τῆς ὑστάτης κατὰ τὴν περίοδον τῶν κρισίμων ἡμερῶν γιγνομένης, 〈ἀλλὰ καὶ〉 τῆς ἐν τῷ μεταξύ. καὶ γὰρ αἱ 〈ἐκ〉 κρίσεις ἐπὶ πάντων τῶν ἀρρώστων, οὐκ ἐπὶ τούτου μόνον, ἐν ταῖς κρισίμοις ἡμέραις φαίνονται γεγονυῖαι, 〈καθάπερ γε καὶ ἐπὶ τούτου〉 κατὰ τὰς κρισίμους ἡμέρας τὰ παρὰ τὰ ὦτα ἐπιφανέντα (κατὰ μὲν γὰρ τὴν ἑπτακαιδεκάτην αἱ παρωτίδες ὤφθησαν) 〈καὶ περὶ πρώτην καὶ τριακοστὴν διάρροια ι .〉 ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈δὲ〉 τῇ εἰκοστῇ ἑβδόμῃ ἰσχίου ὀδύνη δεξιοῦ ἐπεσήμηνεν, ὠθούσης μὲν κάτω τὴν περιουσίαν τῆς φύσεως, οὔπω δὲ τὴν διὰ τῆς γαστρὸς ἔκκρισιν ἐργάσασθαι δυναμένης, ἣν ἐπὶ τῆς ἑξῆς τετράδος ἐκίνησεν.

17a 293 ὅτι δὲ καὶ 〈ἡ〉 εἰκοστὴ κρίσιν ἔσχεν ἐλλιπῆ προακηκόαμεν· ὥστε μαρτυροῦνται τῶν κρισίμων ἡμερῶν αἱ περίοδοι πρὸς τῶν ἐναργῶς φαινομένων ἐπὶ τῶν νοσούντων. Τὴν Δρομεάδεω γυναῖκα θυγατέρα τεκοῦσαν καὶ τῶν ἄλλων γενομένων πάντων κατὰ λόγον δευτεραίην ἐοῦσαν ῥῖγος ἔλαβε ν , πυρετὸς ὀξύ c . ἤρξατο δὲ πονεῖν τῇ πρώτῃ περὶ [δ' ] ὑποχόνδριον · ἀσώδη c , ἀλύουσα καὶ τὰς ἐχομένας οὐχ ὕπνως ε . πνεῦμα ἀραιό ν , μέγ α , [ ὑποχόνδριο ν ] αὐτίκα ἀνεσπασμένο ν . δευτέρ η , ἀ φ ' ἧς ἐρρίγωσε ν , ἀπὸ κοιλίης καλῶς κόπρανα διῆλθεν · οὖρα παχέ α , λευκ ά , θολερ ά , οἷα γίνεται ἐκ τῶν καθισταμένω ν , ὅταν ἀναταραχθῇ κείμενα χρόνον πολύν · οὐ καθίστατ ο . νύκτα οὐκ ἐκοιμήθ η . τρίτῃ περὶ μέσον ἡμέρης ἐπερρίγως ε , πυρετὸς ὀξύ c , οὖρα ὅμοι α , ὑποχονδρίου πόνο c , ἀσώδη c , νύκτα δυσφόρω c , οὐκ ἐκοιμήθη · ἵδρωσε δ ι ' ὅλου ψυχρ ῷ , ταχὺ δὲ πάλιν ἀνεθερμάν θ η .

17a 294 τετάρτῃ περὶ μὲν ὑποχόνδριον σμικρὸν ἐκουφίσθ η , κεφαλῆς δὲ βάρος με τ ' ὀδύνη c · ὑπεκαρώθη · σμικρὰ ἀπὸ ῥινῶν ἔσταξε · γλῶσσα ἐπίξηρο c , διψώδη c · οὖρα σμικρὰ λεπτὰ ἐλαιώδεα · σμικρὰ ἐκοιμήθ η . 〈πέμπτῃ〉 διψώδη c , ἀσώδη c , οὖρα ὅμοι α , ἀπὸ κοιλίης οὐδέ ν , περὶ μέσης ἡμέρης πολλὰ παρέκρουσε καὶ πάλιν ταχὺ σμικρὰ κατενόει · ἀνισταμένη ὑπεκαρώθ η , ψῦξις σμικρ ά , νυκτὸς ἐκοιμήθ η , παρέκρουσε ν . ἕκτῃ πρωὶ ἐπερρίγωσε ν , 〈ταχὺ〉 διεθερμάνθ η , ἵδρωσε δ ι ' ὅλου · ἄκρεα ψυχρ ά , παρέκρους ε , πνεῦμα μέγ α , ἀραιόν · με τ ' ὀλίγον σπασμοὶ ἀπὸ κεφαλῆς ἤρξαντ ο , ταχὺ ἀπέθανε ν . Αὕτη κατὰ μὲν τὴν πρώτην ἡμέραν εὐθέως [ἐπ]εφαίνετο νοσεῖν ὀξέω c. ἐπὶ δὲ τῆς δευτέρας ἡμέρας 〈ἐφ'〉 οἷς εἰρήκει συμπτώμασι τῶν ἐν τοῖς οὔροις σημείων προγενομένων εἰκότως ἄν τις αὐτὴν προσεδόκησε τεθνήξεσθαι διὰ ταχέων.

17a 295 μοχθηρὰ γὰρ ἱκανῶς τὰ ἀνατεταραγμένα μὲν οὖρ α , καθιστάμενα δὲ μή δ ' ὅλω c. ἀλλὰ καὶ τῇ τρίτῃ τῶν ἡμερῶν τὰ οὖρα καὶ τὰ συμπτώματα πάντα διέμεινε τὴν προσδοκίαν βεβαιοῦντα τοῦ θανάτου. τετάρτῃ δὲ στάξεως ἐκ ῥινῶν προσγενομένης καὶ τῶν οὔρων ἐλαιωδῶν φανέντων, εὐλόγως ἀπέθανεν ἑκταί α. πάλιν δὲ κἀπὶ ταύτης πνεῦμα μέγα καὶ ἀραιὸν εἰπὼν γενέσθαι παραφρονῆσαί φησιν αὐτήν. Ἄνθρωπος θερμαινόμενος ἐδείπνησεν καὶ ἔπιε πλέο ν , ἤμεσε πάντ α , νύκτα πυρετὸς ὀξύ c , ὑποχονδρίου δεξιοῦ πόνο c , φλεγμονὴ ὑπολάπαρος ἐκ τοῦ ἔσω μέρου c , νύκτα δυσφόρω c . οὖρα δὲ κα τ ' ἀρχὰς ἐρυθρ ά , πάχος ἔχοντ α , κείμενα οὐ καθίστατο · γλῶσσα ἐπίξηρο c , οὐ λίην διψώδη c . τετάρτῃ πυρετὸς ὀξύ c , πόνοι πάντω ν . πέμπτῃ οὔρησε 〈λεῖον 〉 , ἐλαιῶδες οὐ πολύ · πυρετὸς ὀξύ c . ἕκτῃ δείλης πολλὰ παρέκρουσε ν . οὐδὲ νύκτα ἐκοιμήθ η .

17a 296 ἑβδόμῃ πάντα παρωξύνθη · οὖρα ὅμοι α , λόγοι πολλο ί , κατέχειν οὐκ ἠδύνατο · ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ ὑγρὰ ταραχώδεα διῆλθε μετὰ ἑλμίγγω ν , νύκτα ἐπιπόνω c , πρωὶ δὲ ἐρρίγως ε . πυρετὸς ὀξύ c . ἵδρωσε θερμ ῷ , ἄπυρος ἔδοξε γενέσθαι · οὐ πολὺ ἐκοιμήθ η , ἐξ ὕπνου ψῦξι c , πτυαλισμό c . δείλης πολλὰ παρέκρους ε , με τ ' ὀλίγον δ ' ἤμεσε μέλαν α , ὀλίγ α , χολώδε α . ἐνάτῃ ψῦξι c , παρελήρει πολλ ά , οὐχ ὕπνωσε ν . δεκάτῃ σκέλεα ἐπωδύνω c , πάντα παρελήρε ι . ἑνδεκάτῃ ἀπέθανε ν . Ἡ διήγησις αὕτη πρῶτον μὲν ἡμᾶς ἐδίδαξε δεῖν τὸν 〈νοῦν〉 προσέχειν 〈σφοδρῶς〉 εὐθέως ἐξ ἀρχῆς εἰσβαλλόντων τῶν νοσημάτων καὶ μὴ καταφρονοῦντας ἀφυλάκτως διαιτᾶσθαι, κἂν μικρὰ φαίνηται τὰ νοσήματα. νῦν γοῦν δειπνήσας ἀκαίρως ὁ ἄνθρωπος ἐν ἀρχῇ τοῦ πυρετοῦ μικροῦ δοκοῦντος ὑπάρχειν (ἐνεδείξατο γὰρ τοῦτο διὰ τοῦ θερμαινόμενος ὀνόματος), ἐβλάβη δηλονότι κἀξ αὐτοῦ τοῦ ἀκαίρως προσενέγ κασθαι τροφῆς.

17a 297

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ καὶ ἔπι ε, φησί, πλέον, οὐκ εἰδὼς ἀρχὴν εἶναι μεγάλου νοσήματος. εἰκότως οὖν ἤμεσε μὲν ταῦτ α , ὁ πυρετὸς δὲ ὀξὺς ἅμα συμπτώμασιν οὐκ εὐκαταφρονήτοις ἐγένετο, ἀλλὰ καὶ ἀφορήτοις καὶ οὖρα παχέ α , μὴ καθιστάμεν α. κατὰ δὲ 〈τὴν〉 πέμπτην ἐφάνη σαφῶς ὅτι τεθνήξεται, τῶν ἐλαιωδῶν οὔρων ἐκκριθέντων ἐπὶ τοῖς προειρημένοις συμπτώμασιν, ἃ καὶ κατὰ τὴν ἑβδόμην ἡμέραν ὁμοίως οὐρηθῆναί φησιν. ἀπέθανε δὲ καὶ οὗτος ἐν ἡμέρᾳ κρισίμῳ τῇ ἑνδεκάτ ῃ. Γυναῖκ α , ἣ κατέκειτο ἐν ἀκτ ῇ , τρίμηνον πρὸς ἑωυτῇ ἔχουσαν πῦρ ἔλαβεν · αὐτίκα δ ' ἤρξατο πονέειν ὀσφύ ν . τρίτῃ πόνος τραχήλου καὶ κεφαλῆ ς , κατὰ κληῖδ α , χεῖρα δεξιή ν , διὰ ταχέων δὲ γλῶσσα ἠφώνε ι , δεξιὴ χεὶρ παρε〈λύ〉θη μετὰ σπασμοῦ παραπληγικὸν τρόπο ν , παρελήρει πάντ α . νύκτα δυσφόρω ς , οὐκ ἐκοιμήθ η , κοιλίη ἐπεταράχθη χολώδεσιν ἀκρήτοισιν ὀλίγοισι ν .

17a 298 τετάρτῃ γλῶσσα ἀσαφὴς ἦ ν , ἐλύθ η , σπασμό ς · τῶν αὐτῶν πόνοι παρέμενο ν , κα θ ' ὑποχόνδριον ἔπαρμα σὺν ὀδύν ῃ , οὐκ ἐκοιμᾶτ ο , παρέκρουσε πάντ α , κοιλίη ταραχώδη ς , οὖρα λεπτ ά , 〈οὐκ εὔχρο α . πέμπτῃ〉 πυρετὸς ὀξύ ς , ὑποχονδρίου πόνο ς , παρέκρουσε πάντ α , διαχωρήματα χολώδε α . ἐς νύκτα ἵδρωσε ν , ἄπυρο ς . ἕκτῃ κατενόε ι , πάντων ἐκουφίσθ η , περὶ δὲ κληῖδα ἀριστερὴν πόνος παρέμενε · διψώδη ς , οὖρα λεπτ ά , οὐκ ἐκοιμήθ η . ἑβδόμῃ τρόμο ς , ὑπεκαρώθ η , μικρὰ παρέκρουσε ν , ἀλγήματα κατὰ κληῖδα 〈καὶ〉 βραχίονα ἀριστερὸν παρέμεν ε , τὰ δ ' ἄλλα διεκουφίσθ η , πάντα κατενόε ι . 〈τρεῖς〉 διέλιπεν ἄπυρο ς . ἑνδεκάτῃ ὑπέστρεψε ν , ἐπερρίγως ε , πῦρ ἔλαβε ν . περὶ δὲ τεσσαρεσκαιδεκάτην ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχν α , ἵδρωσεν · ἄπυρος ἐκρίθ η . Οὐκ 〈ἂν〉 ἀνελπίστως ἐκ τοιούτων παθημάτων ἐσώθη μὲν αὕτη, εἰ 〈μὴ ἔτυχεν οὖσα νέα〉 καὶ ἰσχυρά· 〈καὶ γὰρ〉 εἴρηκεν ἅπαντα 〈τοῦ〉 νοσήματος σημεῖα σφαλερώτερα· καὶ θαυμάζω γ', ὅπως οὐδὲν ἔγραψε περὶ τῆς ἡλικίας αὐτῆς.

17a 299 καὶ μὴν μεμνῆσθαι προσήκει τῶν εἰρημένων ἕνεκα τοῦ γινώσκειν ἐν τῷ σπανίῳ διασῳζομένας τινὰς ἐγκύμονας ἐκ τοιούτων νοσημάτων ἄνευ διαφθορᾶς τῶν ἐμβρύων. ἔτι δὲ κἀκείνου μεμνῆσθαι προσήκει τοῦ τὰ τριῶν τε καὶ τεσσάρων μηνῶν δυσπαθέστερα τῶν ἄλλων εἶναι. καὶ τοῦτο γινώσκων αὐτὸς ἐν Ἀφορισμοῖς εἶπε· “τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ τετράμηνα, καὶ ἄχρις ἑπτὰ μηνῶν, ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια καὶ τὰ πρεσβύτερα εὐλαβέεσθαι δεῖ.” τοῖς μὲν οὖν 〈 τριμήνοις καὶ τετραμήνοις〉 παιδίοις οἵ τε δεσμοί, καθ' οὓς τῇ μήτρᾳ συμπεφύκασιν, ἀσθενεῖς εἰσι καὶ τὸ σύμπαν σῶμα μαλακόν· τοῖς δὲ τῆς ἀποκυήσεως ἐγγὺς μεγάλοις οὖσι πολλῆς δεῖ τροφῆς, ἧς ἀποροῦντα πολλάκις ἐν τοῖς ὀξέσι νοσήμασι διαφθείρεται. διὸ καὶ χαλεπώτατόν ἐστι καλῶς διαιτηθῆναι 〈τὴν κυοῦσαν〉 νοσοῦσαν ὀξέως, ἐὰν μέγα τὸ ἔμβρυον ᾖ. εἰ μὲν γὰρ ὡς 〈οὖ〉σαν ἀκύμονα 〈θέλοις αὐτὴν〉 ἐνδεῶς τρέφειν, διαφθείρεται τὸ κυούμενον· εἰ δ' ἐκείνου στοχαζόμενος ἐκτενέστερον προσφέρειν αὐτῇ, κίνδυνος ἀποβάλλεσθαι τῇ κυούσῃ.

17a 300 διὰ ταῦτα μὲν 〈οὖν〉 τὰ τρίμηνα καὶ τετράμηνα μᾶλλον διασῴζονται τῶν ἄλλων. τῇ δ' οὖν νῦν προκειμένῃ κατὰ τὸν λόγον γυναικ ί, καί〈τοι〉 τῶν οὔρων λεπτῶν καὶ οὐκ εὐχρόων ὄντων, ὅμως ἐγένετο σωθῆναι διὰ ῥώμην φύσεως, ἥτις ἐν 〈τῇ πέμπτῃ〉 νυκτὶ δ ι ' ἱδρώτων ἔπαυσε τὸν πυρετό ν. οὐ μὴν βέβαιόν γε δυνατὸν ἦν γενέσθαι 〈τὴν κρίσιν· οὔπω γὰρ τὸ〉 νόσημα 〈πεττόμενον ἦν, ὥστε πολλάκις ἀλλοιοῦσθαι τὰ σημεῖα τῆς νόσου〉 κατὰ τὰς ἑξῆς ἡμέρας ἄχρι τῆς ἑνδεκάτη ς, ἐν ᾗ πάλιν μετὰ ῥίγους ὑποστρέψασα δ ι ' ἐμέτου καὶ ἱδρῶτος ἐκρίθη τελέως. ἐν γὰρ ταῖς ἀπὸ τῆς πέμπτης ἄχρι τῆς ἑνδεκάτης τὰ γενόμενα συμπτώματα τοῦ νευρώδους ἦν γένους, οὐ τοῦ φλεβώδους ἢ ἀρτηριώδους. ἐν γοῦν τῇ ἑβδόμ ῃ, φησί, τρόμο ς , ὑπεκαρώθ η , σμικρὰ παρέκρους ε, τὰ δέ γε κατὰ τὰς φλέβας ἐπὶ τὸ βέλτιον ἦν πεττόμενα μετὰ τὴν ἐν τῇ πέμπτῃ κρίσιν. ἐπὶ γοῦν τῆς ἕκτης ἔγραψεν· οὖρα λεπτ ά, μὴ προσθεὶς τὸ οὐκ εὔχρο α. καὶ τούτων μὲν μεμνῆσθαι χρήσιμον καὶ τοῦ τῆς πέμπτης ἡμέρας οἵας 〈τε〉 ἀγωνιστικὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κρίσεις ἐπι φέρειν· καὶ γὰρ ὀλίγον ἔμπροσθεν ἄλλον ἄρρωστον ἔκρινε δι’ αἱμορραγίας καὶ νῦν δ ι ’ ἱδρῶτος τὴν προκειμένην ἐν τῷ λόγῳ γυναῖκα, καίτοι τοῦ νοσήματος ἀμφοτέροις ἀπέπτου κατ’ ἐκείνην τὴν ἡμέραν ὄντος· διὸ μηδὲ τελείαν ἐποιήσατο τὴν κρίσιν.

17a 301 Μελιδί ῃ , 〈ἣ〉 κατέκειτο παρὰ Ἥρης ἱερό ν , ἤρξατο κεφαλῆς καὶ τραχήλου καὶ στήθεος πόνος ἰσχυρό ς · αὐτίκα δὲ πυρετὸς ὀξὺς ἔλαβε · γυναικεῖα δὲ σμικρὰ ἐπεφαίνετο · πόνοι τούτων ἁπάντων ξυνεχέε ς . 〈ἕκτῃ〉 κωματώδη ς , ἀσώδη ς , φρικώδη ς , ἐρύθημα ἐπὶ γνάθω ν , σμικρὰ παρέκρουσε ν . ἑβδόμῃ ἵδρως ε , πυρετὸς διέλιπε ν , οἱ πόνοι παρέμενο ν , ὑπέστρεψε ν , ὕπνοι σμικρο ί , οὖρα διὰ τέλεος εὔχροα μέ ν , λεπτὰ δέ · διαχωρήματα 〈λεπτ ά ,〉 χολώδε α , δακνώδεα *** διῆλθε ν .

17a 302 οὔροις ὑπόστασις λευκ ή , 〈λείη · ἵδρωσεν 〉 . ἐκρίθη τελέως ἑνδεκάτ ῃ . Καὶ περὶ ταύτης ἐν ἀρχῇ μὲν οὐκ ἔγραψε τὴν ἰδέαν τῶν οὔρων. ἐπὶ δὲ τῷ τέλει τῆς διηγήσεως ἔφη· οὖρα διὰ τέλεος εὔχροα μέ ν , λεπτὰ δ έ. τὰ μὲν 〈οὖν〉 ἀκριβῶς λεπτὰ τὴν κατὰ φύσιν ἔχειν εὔχροιαν οὐ δύναται. μετρίως μὲν γάρ ἐστιν ὠχρὰ τὰ εὔχροα, λευκὰ δὲ τὰ τελέως λεπτ ά. καθ’ ὅσον δὲ ἐγχωρεῖ συνελθεῖν εὔχροιαν οὔρων λεπτότητι, κατὰ τοσοῦτον χρὴ ἀκούειν λέγοντα αὐτὸν 〈τὰ οὖρα〉 διὰ τέλεος εὔχροα μὲν γενέσθαι, λεπτὰ δ έ. φαίνεται δὲ καὶ αὕτη ἡ γυνὴ διὰ τὴν ἰσχὺν τῆς φύσεως σωθῆναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org